17 πρὸς τὰ ἔνδοξα στοχαστικῶς ἔχειν] i. e. τὸ ὅμοιον τῷ ἀληθεῖ, nam plerumque his utitur ars rhetorica. cf. Plat. Phileb. p. 233—5 (58). Hermias ad Phaedrum p. 197: τὸ δὲ ἀληθείας μέλειν τοῦτο λέγει, σκώπτων τὴν τοιαύτην ῥητορικήν, εἴ γε τὸ ἀληθὲς οὐ περιεργάζονται, ἀλλὰ τὸ δοκοῦν τοῖς πολλοῖς, τὸ εἰκός, τὸ δοκοῦν τῷ πλήθει καὶ τὸ ἔνδοξον, ὡς Ἀριστοτέλης φησίν. Rhetor. Gr. V p. 597: οἱ μὲν γὰρ φιλόσοφοι τὸ φύσει δίκαιον ἢ συμφέρον ζητοῦσιν, οἱ δὲ ῥήτορες τὸ κριθὲν καὶ νομοθετηθὲν δίκαιον, τοῦτο δὲ παρ' ἄλλοις ἄλλο ἐστίν, ὥσπερ καὶ οἱ νόμοι διάφοροι, ὁμοίως καὶ τὸ διάφορον [leg. τὸ συμφέρον διάφορον], ὁμοίως καὶ τὸ καλόν. Aristoteles infra de elocutione III, 1: καὶ δοκεῖ φορτικὸν εἶναι, καλῶς ὑπολαμβανόμενον. ἀλλ' ὅλης οὔσης πρὸς δόξαν τῆς πραγματείας τῆς περὶ τὴν ῥητορικήν, οὐκ ὀρθῶς ἔχοντος, ἀλλ' ὡς ἀναγκαίου τὴν ἐπιμέλειαν ποιητέον. Ethic. Nic. I, 1: πεπαιδευμένου γάρ ἐστιν ἐπὶ τοσοῦτον τἀκριβὲς ἐπιζητεῖν καθ' ἕκαστον γένος ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται· παραπλήσιον γὰρ φαίνεται μαθηματικοῦ τε πιθανολογοῦντος ἀποδέχεσθαι καὶ ῥητορικὸν ἀποδείξεις ἀπαιτεῖν.

20 δικολογεῖν] Hoc significat genus iudiciale, δικαιολογεῖν vero constitutionem iuridicialem, vid. ad Anax. Rhet. cap. 2.

20 χρήσιμος] Quatuor argumentis contra Platonem artis rhetoricae utilitatem probat; sic et in Topic. postquam eorum naturam explicuerat, utilitatem exponit I, 2. Sophist. el. 16. Lollianus in Rhet. Graec. VII, 33, quae eadem ex Syriano et Sopatro IV, 297 (ubi nostri laudantur libri Ἀριστοτέλης ἐν ταῖς ῥητορικαῖς τέχναις), item II, 2. V, 220: ὅτι ὁ Ἀριστοτέλης πρὸς τέτταρα εἶναι ταῦτα τὴν ῥητορικὴν χρήσιμόν

φησι καὶ τὰς δι' αὐτῆς ἀποδείξεις, πρῶτον μὲν [καὶ] πρὸς τὴν τῶν ἀληθῶν καὶ δικαίων ἐν τοῖς πολιτικοῖς πράγμασιν ἐπίγνωσιν, ὡς καὶ Πλάτων ἐν Φαίδρῳ [Apolog. p. 91 (18)] ῥήτορος μὲν γὰρ ἔργον τὸ τἀληθῆ λέγειν, δικαστῶν δέ γε σωφρόνων τὸ τὰ δίκαια λέγειν· δεύτερον δὲ τὸ διὰ τῶν κοινῶν καὶ πιθανῶν λόγων πείθειν τοὺς πολλούς, ἀλλὰ μὴ διὰ τῶν ἐπιστημονικῶν ὧν ἐπαΐειν παντελῶς ἀδυνατοῦσι· τρίτον τὸ πρὸς τὰ ἀντικείμενα δύνασθαι διὰ λόγων βοηθεῖν ἑαυτοῖς· τέταρτον τὸ πᾶσαν ἐν λόγοις εὔροιαν, ἥτις πρὸς πᾶσαν ἐπιστήμην χρήσιμος, ἐκ ταύτης ἡμῖν περιγίνεσθαι. Non male quicunque horum auctor est, Aristotelem interpretatus est, nisi quod hoc invito verba ἐν τοῖς πολιτικοῖς πράγμασιν, ex posteriorum sensu dicta, artis finem coarctant. Quinque rationes minus apte distinctas neque dignas quas multis expositas hic describamus, affert Iohannes Siceliota Rhet. Graec. tom. VI p. 64 seq. Ex alio Aristotelis fonte hausta videntur quae leguntur (cf. Artium script. p. 145) Rhet. Gr. VII, 12: τρεῖς τοίνυν ῥητορικὰς ὑποτίθενται, μίαν μὲν τὴν ἀνωτάτω καὶ σύνδρομον τῇ φιλοσοφίᾳ, δευτέραν δὲ τὴν μέσην, τρίτην δὲ τὴν κολακευτικὴν καὶ ἐζήτησεν ὁ Ἀριστοτέλης, διὰ τί ἐδέησε μέσην εἶναι ῥητορικὴν καί φησιν, ὅτι τὸν δῆμον καὶ τοὺς δικαστὰς ἐξ ἰδιωτῶν συγκειμένους οὐ δυνατὸν τῇ πρώτῃ ἐπακολουθεῖν καὶ ἐπιστημόνως τὰ λεγόμενα δέξασθαι, ὅθεν ἀνάγκῃ γέγονε τὴν μέσην γενέσθαι· ἔπειτα ἡ δύναμις ἐφ' ἑκατέραν ῥέπει διὰ τὸ ἀναγκαῖον τῶν πραγμάτων καὶ οἱ ταύτην μετιόντες ἄμφω ἐπίστανται καὶ τὰ βλάπτοντα καὶ τὰ λυσιτελοῦντα, ἀλλ' οὐχ ὅπως χρήσωνται, καθάπερ ὁ ἰατρὸς οἶδε μὲν καὶ τα δηλητήρια καὶ τὰ ἀλεξιφάρμακα, οἶδε δὲ οὐχ ἵνα ποιῇ, ἀλλ' ἵνα γινώσκων φυλάξηται. Accuratius et diligentius haec item quatuor rationibus congestis Rhet. Gr. IV p. 23: ἔστι δὲ καὶ ἄλλη τούτων μέση ἥτις καὶ ἀληθείᾳ κέχρηται καὶ ψεύδει· ψεύδει δὲ λέγω ἐπὶ τῷ συμφέροντι καὶ διὰ τί ὅλως χρεία γέγονε τῆς μέσης καὶ μὴ τῇ πρώτῃ καὶ ἀληθινῇ πάντες ἐχρήσαντο, [καὶ] πολλὰς ἐπιδέδωκε λύσεις Ἀριστοτέλης· μίαν μέν, ὅτι οὐ κακὸν ἀεὶ τὸ ψεύδεσθαι· πρὸς γὰρ τὴν γνώμην τῶν χρωμένων ἢ διαβάλ-

λεται ἢ ἐπαινεῖται τὸ ψεῦδος· εἰ μὲν γὰρ ἀεί τις χρῷτο τῷ ψεύδει, αὐτός τέ ἐστι κακὸς καὶ τὸ ψεῦδος ᾧ κέχρηται· εἰ δὲ ἐπὶ συμφέροντι καὶ διὰ τὸ βοηθῆσαι τῇ ἀληθείᾳ, οὐκ ἀποδοκιμαστέον ἐνταῦθα τὸ ψεῦδος. πρὸς δὲ τούτῳ δεῖ τὰ δύο εἰδέναι τὸν ῥήτορα τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, ὥσπερ τὸν ἰατρόν· καὶ γὰρ ἐκεῖνον ἀνάγκη εἰδέναι τά τε ὑγιεινὰ τῶν φαρμάκων καὶ τὰ νοσερά, ἵνα τοῖς μὲν χρήσηται, τὰ δὲ ὡς βλάπτοντα φεύγῃ, καὶ τὸν ῥήτορα τοίνυν ἀνάγκη εἰδέναι μὲν τὰ ψευδῆ, εἰδέναι δὲ καὶ τἀληθῆ, ἵνα τὰ μὲν ἑκὼν παραλίπῃ, τὰ δὲ λέγῃ. καὶ ἄλλη δή τίς ἐστιν αἰτία τοῦ εἰδέναι τὴν οὐκ ἀληθῆ ῥητορικήν· ἐπειδή τινες χρῶνται αὐτῇ ἢ κατὰ ἄγνοιαν ἢ πειράζοντες, χρὴ καὶ ταύτην εἰδέναι τὸν ῥήτορα καὶ δύνασθαι ἀμφότερα ἐπιχειρεῖν, ἵνα τῶν ψευδομένων αἰσθάνηται· ἔτι δὲ εἰ μὲν πάντες οἱ ἀκροώμενοι ἐδύναντο παρακολουθεῖν τοῖς ἐκ τῆς ἀληθευτικῆς λεγομένοις, οὐκ ἂν ἔδει τοῦ ψεύδους τοῖς ῥήτορσιν· ἐπειδὴ δὲ πρὸς δῆμον οἱ λόγοι λέγονται καὶ δικαστὰς ἀπαιδεύτους, ὀλίγοι δὲ τούτων εἰσὶν οἱ δυνάμενοι συνιέναι τὰ τῆς ἀληθευτικῆς, διὰ τοῦτο ταύτης ἐδέησε τῆς σοφιζομένης ῥητορικῆς, ἵνα ταῖς κοιναῖς ἐννοίαις χρωμένη πείθῃ τὸν δῆμον. Aliud argumentum Isocrates addidit in Antidosi § 291—4: συμφέρει γὰρ ἐπί τε τῶν ἄλλων ἁπάντων καὶ μάλιστα ἐπὶ τῶν λόγων μὴ τὰς εὐτυχίας ἀλλὰ τὰς ἐπιμελείας εὐδοκιμεῖν· οἱ μὲν γὰρ φύσει καὶ τύχῃ δεινοὶ γενόμενοι λέγειν οὐ πρὸς τὸ βέλτιστον ἀποβλέπουσιν, ἀλλ' ὅπως ἂν τύχωσιν οὕτως χρῆσθαι τοῖς λόγοις εἰώθασιν· οἱ δὲ φιλοσοφίᾳ καὶ λογισμῷ τὴν δύναμιν ταύτην λαβόντες, οὐδὲν ἀσκέπτως λέγοντες ἧττον περὶ τὰς πράξεις πλημμελοῦσιν κτλ.

χρήσιμος] Analyt. post. II, 13 p. 96 b, 25: αἱ δὲ διαιρέσεις αἱ κατὰ τὰς διαφορὰς χρήσιμαί εἰσιν . . χρήσιμοι δ' ἂν εἶεν ὧδε μόνον, ita codices quos Bekkerus et Waitzius secutus est. χρησίμην Polit. p. 1271, b, 3 1338, 31. Nicom. I, 7. χρήσιμαι part. anim. IV, 8 ubi PV χρήσιμοι. IV, 10 p. 689, 32 χρησίμην τὴν θέσιν, sed ibidem b, 15 φύσιν χρήσιμον. 725, 4 χρησίμης. 7 χρησίμην. 16 χρησίμου. b, 2 p. 726, 26. Metaph. Θ, 1 p. 1045 χρησίμη, sed A χρησιμωτάτη.

infra I, 15 p. 1376, 26 *χρησίμης* et III, 2 p. 1404 b, 32 solus A *χρήσιμαι*, sed v. 38 *ὁμωνυμίαι χρήσιμοι*.

21 *διά τε τὸ φύσει*] Muretus legit: *διὰ τὸ φύσει μὲν εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων* et addit: *οὐκ ἀεὶ δέ, καὶ τοῖς πολλοῖς τάδε εὐπιστότερα τῶν ἐναντίων* et convertit sic: *Utilis autem rhetorica est tum quia natura quidem vera et iusta potentiora sunt falsis et iniustis, non tamen semper etiam in vulgus faciliora ad persuadendum.* Riccobonus, p. 26 qui haec ex integro Mureti commentario (maxima enim libri prioris pars intercidit,) ab eius amico Ricardo Esio (vid. p. 18) sibi commodato, notavit; utinam et argumenta huius emblematis in quo praeter sensum et *τάδε* et *εὐπιστότερα* offendit, addidisset. Conf. Fr. A. Wolf Auctarium ad Vat. Animadv. pag. 200. Nihil desiderari docet et Dionysii Hal. epist. ad Amm. cap. 6 qui verba *χρήσιμος δ' ἐστὶν — πρὸς τοὺς πολλοὺς ἐντεύξεως*, ut ipse dicit *κατὰ λέξιν* affert; ibi legitur *διά γε τό*, minus recte, *τε* hanc primam esse rationem et alias sequi indicat, ut Andocid. I, 58: *ὅπου δὲ τούτων τὸ ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν αὐτῷ τε αἴσχιστα ἀπολέσθαι μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα περιιδεῖν ἀπολόμενον καὶ τὸν κηδεστὴν καὶ τοὺς συγγενεῖς καὶ ἀνεψίους τοσούτους.* Plat. Phaedr. p. 279 A. Arist. Phys. III, 8 p. 208, 8—11. VII, 4 p. 248, 19. 257 b, 15. 472 b, 6. 783 b, 33. 999, 26—32.

22 *μὴ*] male om. A. *μὲν* plures Dionysii libri.

23 *ἀνάγκη δι' αὐτῶν*] Vet. transl. Vict. et Mon. *necesse contraria per ipsa*, sed ed. pr. om. *contraria*. In A scholion *διὰ τῶν ἐναντίων ἢ τοῦ ψευδοῦς ἢ τοῦ ἀδίκου*, recte; Dobreeus Advers. I, 159 *δι' αὐτῶν sua culpa* scribit. Gaisf. contulit Eurip. fragm. 3 Alexandri

ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ
δίκαια λέξας ἧττον εὐγλώσσου φέρει.

24 *ἔτι δὲ πρὸς ἐνίους*] Infra I, 2 de rhetorica: *ἔστι δὲ τὸ ἔργον αὐτῆς . . καὶ ἐν τοῖς τοιούτοις ἀκροαταῖς οἳ οὐ δύνανται διὰ πολλῶν συνορᾶν οὐδὲ λογίζεσθαι πόρρωθεν . . . ὁ γὰρ κριτὴς ὑπόκειται εἶναι ἁπλοῦς.* II, 22: *ὅτι μὲν οὖν τὸ ἐνθύμημα συλλογισμός τίς ἐστιν εἴρηται πρότερον καὶ πῶς συλλογισμὸς καὶ τί διαφέρει τῶν διαλεκτικῶν·*

οὔτε γὰρ πόρρωθεν οὔτε πάντα δεῖ λαμβάνοντα συνάγειν, τὸ μὲν γὰρ ἀσαφὲς διὰ μῆκος, τὸ δὲ ἀδολεσχία διὰ τὸ φανερὰ λέγειν· τοῦτο γὰρ αἴτιον καὶ τοῦ πιθανωτέρους εἶναι τοὺς ἀπαιδεύτους τῶν πεπαιδευμένων ἐν τοῖς ὄχλοις, ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ μουσικωτέρους λέγειν· οἱ μὲν γὰρ τὰ κοινὰ καὶ τὰ καθόλου λέγουσιν, οἱ δ' ἐξ ὧν ἴσασι καὶ τὰ ἐγγύς. cf. Cicero de oratore I, 3, 12. II, 33, 117. schol. in Theonis prog. p. 150 Finckh. Iulius Victor p. 232 cap. 10.

25 *διδασκαλίας*] *διδασκαλία* Dionysii libri.

28 *ἐν τοῖς τοπικοῖς*] I, 2: *πρὸς δὲ τὰς ἐντεύξεις (χρήσιμος ἡ τῶν τοπικῶν πραγματεία), διότι τὰς τῶν πολλῶν κατηριθμημένοι δόξας οὐκ ἐκ τῶν ἀλλοτρίων ἀλλ' ἐκ τῶν οἰκείων δογμάτων ὁμιλήσομεν πρὸς αὐτοὺς μεταβιβάζοντες ὅτι ἂν μὴ καλῶς φαίνωνται λέγειν ἡμῖν.* ubi conf. Alex. p. 17. In Dionysio solus C *τοπικοῖς* habet, ceteri tres corrupte *πολιτικοῖς*.

29 *ἔτι δὲ τἀναντία*] II, 25: *οἱ μὲν γὰρ συλλογισμοὶ ἐκ τῶν ἐνδόξων, δοκοῦντα δὲ πολλὰ ἐναντία ἀλλήλοις ἐστίν.* Proclus in Cratylum p. 2 et schol. in Plat. Gorg. p. 338 Bkk.: *ὅτι ὁ μὲν Ἀριστοτέλης (καὶ οἱ σοφισταὶ* add. schol.) *μίαν εἶναι λέγει ῥητορικὴν καὶ μίαν διαλεκτικὴν δυναμένας ἐπ' ἀμφότερα ὡς ἄν τις προαιρῆται πείθειν ἢ ἐλέγχειν· ὁ δὲ Πλάτων ἄμεινον δύο ἑκατέρας εἶναι λέγει· ἡ μὲν γάρ τίς ἐστι, φησί, ῥητορικὴ κολακεία καὶ ἄτεχνος, ἣν ἐν Γοργίᾳ διαβάλλει, ἡ δὲ ἐπιστήμη τῶν ἀγαθῶν καὶ δικαίων, ἣν ἐν Φαίδρῳ ἀνυμνεῖ. καὶ πάλιν τὴν μὲν τοῦ Ἀριστοτέλους διαλεκτικὴν ὡς ἐριστικὴν ἀποπέμπεται, τὴν δὲ τῶν ὄντων τὰς ἀρχὰς ὁρῶσαν διαλεκτικὴν ἀγαπᾷ ὡς μέρος φιλοσοφίας.* At is et usum et rationem quam Aristoteles rhetoricae tribuit, neglexit. conf. Topic. VIII, 14. Soph. el. 15: *ἔτι καθάπερ καὶ ἐν τοῖς ῥητορικοῖς, καὶ ἐν τοῖς ἐλεγκτικοῖς ὁμοίως τὰ ἐναντιώματα θεωρητέον ἢ πρὸς τὰ ὑφ' ἑαυτοῦ λεγόμενα ἢ πρὸς οὓς ὁμολογεῖ καλῶς λέγειν ἢ πράττειν, ἔτι πρὸς τοὺς δοκοῦντας τοιούτους ἢ πρὸς τοὺς ὁμοίους ἢ πρὸς τοὺς πλείστους ἢ πρὸς πάντας.* Quint. XII, 1. Cicero de orat. I, 34, 158.

32 *ὅπως ἄλλου χρωμένου τοῖς λόγοις μὴ δικαίως αὐτοὶ λύειν ἔχωμεν*] Ita Bekkerus et *αὐτοὶ* in E extat, Aldus *τοῖς λόγοις αὐτοῖς μὴ δικαίως*, idem Veneta, sed tum *λύειν αὐτοί*, A vero et vet. tr. *μὴ δικαίως τοῖς λόγοις αὐτοῖς*, unde quondam *αὐτοὺς* scripsimus; verum est *αὐτοῖς*, sed delendum *τοῖς λόγοις*.

38 *πρὸς δὲ τούτοις ἄτοπον*] Conf. Plat. Gorg. p. 76 (480 seq.). 86 (486). Isocrat. Antidos. § 250 de arte rhetorica: *ὃ δὲ πάντων δεινότατον, ὅτι προκρίναιεν μὲν ἂν τὴν ψυχὴν σπουδαιοτέραν εἶναι τοῦ σώματος, οὕτω δὲ γιγνώσκοντες ἀποδέχονται μᾶλλον τοὺς γυμναζομένους τῶν φιλοσοφούντων. καίτοι πῶς οὐκ ἄλογον τοὺς τοῦ φαυλοτέρου ποιουμένους τὴν ἐπιμέλειαν ἐπαινεῖν μᾶλλον ἢ τοὺς τοῦ σπουδαιοτέρου, καὶ ταῦτα πάντων εἰδότων διὰ μὲν εὐεξίαν σώματος οὐδὲν πώποτε τὴν πόλιν τῶν ἐλλογίμων ἔργων διαπραξαμένην, διὰ δὲ φρόνησιν ἀνδρὸς εὐδαιμονεστάτην καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων γενομένην*; de pace § 39—40: *ἐμὸν μὲν οὖν ἔργον ἐστὶ καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους ἀλλὰ τοὺς ὠφελιμωτάτους· ὑμᾶς δὲ χρὴ πρῶτον μὲν τοῦτο γιγνώσκειν, ὅτι τῶν μὲν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται, ταῖς δὲ ψυχαῖς ταῖς ἀγνοούσαις καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν οὐδέν ἐστιν ἄλλο φάρμακον πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν, ἔπειθ' ὅτι καταγέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμάζειν πρὶν εἰδέναι σαφῶς εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν, ὥστ' ὠφελῆσαι τοὺς ἀκούοντας.*

pag. 1355 b 2 *εἰ δ' ὅτι μεγάλα*] Postquam quatuor rationes quibus utilem esse artem ostenderet, laudavit, sententiam a Platone amplificatam plurima inde mala existere confutat. Rhet. Graec. IV p. 57: *εἰ δέ ποτε καὶ κακοὶ γεγόνασι ῥήτορες τοῦτο οὐ τῆς τέχνης ἔλεγχος, ἀλλὰ τῆς τῶν μετιόντων κακίας καὶ ὥσπερ ἐπὶ τῆς ἰατρικῆς αὐτὴ μὲν ὑγίειαν ἐπαγγέλλεται, τῶν δὲ ἰατρῶν τινὲς οὐ μόνον οὐχ ὑγιαίνειν ποιοῦσιν, ἀλλὰ καὶ διαφθείρουσι καὶ ὅμως οὐδεὶς ἔγκλημα τοῦτο κατὰ*

τῆς τέχνης ὁρίζεται, οὕτω καὶ ἐπὶ τῆς ῥητορικῆς, οὐ διὰ τό τινας εἶναι κακοὺς ἐκβάλλεται τοῦ εἶναι τέχνη, ἀλλὰ διὰ τὸ χρήσιμον αὐτῆς τέχνη μάλιστα δείκνυται. Plura de hac re disputavit Philodemus περὶ ῥητορικῆς Vol. Hercul. Oxon. tom. II f. 64, sed pauca restant quae sententiam efficiant praeter haec: ἐπαγγέλλεται τὸ τέλος διὰ παντὸς ποιήσειν· οὔτε γὰρ ἰατρός, οὔτε κυβερνήτης, οὔτε τοξότης, οὔτε ἁπλῶς ὅσοι τὰς ἐπιστήμας οὐ παγίους ἔχουσιν, ἀλλὰ στοχαστικάς, ὥστ' ἢ καὶ ταύτας οὐ ῥητέον εἶναι τέχνας ἢ καὶ ῥητορικήν, ἐπαγγέλλεταί τε καὶ ὁ ῥήτωρ τὸ τέλος ποιήσειν, ἔστι δ' αὐτοῦ τὸ τέλος reliqua acutiores exponant. Gorgias ipse apud Platonem p. 24 (457): ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς ἅπαντάς ἐστιν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν, ὥστε πιθανώτερος εἶναι ἐν τοῖς πλήθεσιν ἔμβραχυ περὶ ὅτου ἂν βούληται. ἀλλ' οὐδέν τι μᾶλλον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν δόξαν ἀφαιρεῖσθαι, ὅτι δύναιτο ἂν τοῦτο ποιῆσαι, οὔτε τοὺς ἄλλους δημιουργούς, ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι, ὥσπερ καὶ τῇ ἀγωνίᾳ. ἐὰν δὲ οἶμαι ῥητορικὸς γενόμενός τις κᾆτα ταύτῃ τῇ δυνάμει καὶ τῇ τέχνῃ ἀδικῇ, οὐ τὸν διδάξαντα δεῖ μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνος μὲν γὰρ ἐπὶ δικαίᾳ χρείᾳ παρέδωκεν, ὁ δ' ἐναντίως χρῆται. τὸν οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαιον καὶ ἐκβάλλειν καὶ ἀποκτιννύναι, ἀλλ' οὐ τὸν διδάξαντα. cf. pag. 171 (527). Haec Plato ex sophistarum, fortasse ipsius Gorgiae doctrina, qui sophistas defendit, discipulos accusat; accuratius eadem exponit Isocrates in Nicocle § 1—9. in Antidosi § 251 seqq., qui cum Aristotele conferendus est. Cic. de invent. 1, 94. ad Herenn. 2, 44.

4 πλὴν ἀρετῆς] Gaisfordus laudat Pseudoarchyt. Stobaei I p. 15: τῶν ἀγαθῶν ἃ μὲν οὐκ ἔχει ὑπερβολάν, οἷον ἀρετά· οὐ γάρ ἐστιν ὑπερβάλλουσά τις ἀρετὰ καὶ ὑπερβαλλόντως τις ἀγαθός. ἁ γὰρ ἀρετὰ στάθμαν ἔχει τὸ δέον καὶ τοῦ δέοντος ἕξις ἐν τοῖς πρακτοῖς, ἁ δ' εὐτυχία καὶ τὰν ὑπερβολὰν ἐπιδέχεται καὶ τὰν μείωσιν, ὑπερβάλλουσα δὲ γεννᾷ τινὰς κακίας καὶ ἐξίστησι τὸν ἄνθρωπον ἐκ τῆς κατὰ φύσιν ἕξεως. Xenoph. Cyrop. IV, 1, 15. Plat. Menon.

p. 87 E. Isocrat. Nicocl. init. Aristot. Polit. I, 2: *χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα ὅπλα, ὁ δ' ἄνθρωπος ὅπλα ἔχων φύεται φρονήσει καὶ ἀρετῇ οἷς ἐπὶ τἀναντία ἔστι χρῆσθαι μάλιστα.* cf. Horat. epist. 1, 6, 16.

10 *ὅτι οὐ τὸ πεῖσαι ἔργον αὐτῆς*] Vid. Muretus Var. Lect. XI, 18 qui recte monet haec contra vulgarem veterum de artis officio et fine — *ῥητορική ἐστι πειθοῦς δημιουργός* — sententiam dicta esse; vid. Plat. Gorg. p. 16 (453). Artium scriptor. p. 34. Rhetor. Graec. II p. 8: *τέλος δὲ οὐ τὸ πεῖσαι πάντως, τοῦτο γὰρ καὶ τῷ Σταγειρίτῃ δοκεῖ. ἀλλὰ τὸ πειστικῶς εἰπεῖν μηδὲν τῶν ἐνδεχομένων εἰρῆσθαι παραλιπόντα.* conf. p. 120. IV p. 26: *τέλος δὲ τῆς ῥητορικῆς οὐ τὸ ἁπλῶς πεῖσαι, ἀλλὰ τὸ πιθαναῖς χρήσασθαι μεθόδοις· ὥσπερ γὰρ ἰατρὸς κἂν μὴ ὑγιάσῃ, ταῖς δὲ ὑγιαστικαῖς χρήσηται μεθόδοις, ἰατρός ἐστι, καὶ ὁ φιλόσοφος κἂν μὴ πάντας ποιήσῃ καλοὺς καὶ ἀγαθούς, φιλόσοφός ἐστιν, οὕτω καὶ ὁ ῥήτωρ κἂν μὴ πείσῃ, πιθαναῖς δὲ χρήσηται μεθόδοις, ῥήτωρ ἐστίν, εἰκότως δὲ συμβαίνει τῷ φιλοσόφῳ καὶ τῷ ῥήτορι, τῷ μὲν μὴ ποιεῖν, τῷ δὲ μὴ πείθειν. ὑπόκειται γὰρ ψυχὴ αὐτοπροαίρετος, αὐτοκίνητος, αὐτεξούσιος, παλίμβολος, θᾶττον ἀφ' ἑτέρου εἰς ἕτερον μεταπίπτουσα καὶ μᾶλλον ἐπιρρεπῶς ἔχουσα πρὸς τὸ ἑαυτῇ πείθεσθαι ἢ ἑτέροις.* Aristoteles Top. I, 3: *ἕξομεν δὲ τελέως τὴν μέθοδον, ὅταν ὁμοίως ἔχωμεν ὥσπερ ἐπὶ ῥητορικῆς καὶ ἰατρικῆς καὶ τῶν τοιούτων δυνάμεων. τοῦτο δ' ἐστὶ τὸ ἐκ τῶν ἐνδεχομένων ποιεῖν ἃ προαιρούμεθα. οὔτε γὰρ ὁ ῥητορικὸς ἐκ παντὸς τρόπου πείσει, οὔθ' ὁ ἰατρικὸς ὑγιάσει· ἀλλ' ἐὰν τῶν ἐνδεχομένων μηδὲν παραλείπῃ, ἱκανῶς αὐτὸν ἔχειν τὴν ἐπιστήμην φήσομεν.* Hunc locum attulit Victorius, idem Isocrat. Nicoclem init. laudat. Ipse Aristoteles Ethic. Nicom. III, 5 finem *τὰ πρὸς τὸ τέλος* esse concedit: *βουλευόμεθα δ' οὐ περὶ τῶν τελῶν ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη, οὔτε γὰρ ἰατρὸς βουλεύεται εἰ ὑγιάσει, οὔτε ῥήτωρ εἰ πείσει.* Quintil. XI, 1, 11. Anecd. Paris. IV, 395 Cram. Philod. vol. Herc. IV, 55 coll. alt.: *πᾶς τεχνίτης ἐπαγγέλλεται τὸ τέλος ποήσειν, ὁ δὲ ῥήτωρ οὐκ ἐπαγγέλλεται πείσειν. οὐ πᾶς τεχνίτης, ἐὰν ἔχῃ φρένας, ἐπαγγέλλεται τὸ τέλος διὰ παντὸς ποήσειν· οὔτε γὰρ ἰατρὸς οὔτε κυβερνήτης οὔτε τοξό-*

της οὔτε ἁπλῶς ὅσοι τὰς ἐπιστήμας οὐ παγίους ἔχουσιν, ἀλλὰ στοχαστικάς, ὥστ' ἢ καὶ ταύτας οὐ ῥητέον εἶναι τέχνας ἢ καὶ τὴν ῥητορικήν.

12 *ἰατρικῆς*] Cf. Top. V, 7 p. 136 b, 36. — vet. tr. *ὑγίαν* vertit, non *ὑγιᾶ*.

17 *ἡ γὰρ σοφιστικὴ*] Restituimus hoc ex vetustissimo codice et vetere translatione; Aristoteles si personam, non rem notasset, non *ὁ γὰρ σοφιστικός*, sed *ὁ γὰρ σοφιστὴς* scripsisset.

18 *οὐκ ἐν τῇ δυνάμει, ἀλλ' ἐν τῇ προαιρέσει*] Metaphys. III, 2 p. 1004, 23: *περὶ μὲν γὰρ τὸ αὐτὸ γένος στρέφεται ἡ σοφιστικὴ καὶ ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ, ἀλλὰ διαφέρει τῆς μὲν τῷ τρόπῳ τῆς δυνάμεως, τῆς δὲ τοῦ βίου τῇ προαιρέσει.* Victorius similem locum attulit ex Ethic. Nic. IV, 13: *οὐκ ἐν τῇ δυνάμει δ' ἐστὶν ὁ ἀλαζών, ἀλλ' ἐν τῇ προαιρέσει*, idem optime sensum huius loci explicuit: fallaces conclusiunculae non minus dialectico quam sophistae cognitae sunt, hoc tantum inter ipsos discrimen est, quod hic potest ipsis uti et non utitur; ille et potest et libenter utitur; improbat enim usum illarum dialecticus, sophista utilem sibi sentit ac summo studio eas captat. Soph. elench. cap. 1: *ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία, οὖσα δὲ οὐ . . . ἡ γὰρ τοιαύτη δύναμις ποιήσει φαίνεσθαι σοφὸν οὗ τυγχάνουσι τὴν προαίρεσιν ἔχοντες.* Schol. Plat. in Gorg. p. 342 Bkk.: *ὅτι τῆς αὐτῆς γνώμης ἐστὶν Ἀριστοτέλης καὶ Γοργίας περὶ τῆς ῥητορικῆς. καὶ γὰρ ἐκεῖνος γνῶσιν μὲν τὴν αὐτὴν τοῦ τε σπουδαίου καὶ μοχθηροῦ ῥήτορος ἔλεγεν εἶναι, προαίρεσιν δὲ διάφορον.* Qui arte dialectica recte utitur, *διαλεκτικὸς* dicitur, qui male et de industria ea abutitur, *σοφιστής*; in arte rhetorica autem et is qui bene et qui male ea utitur nullo verborum discrimine *ῥήτωρ* appellatur, et ut ipse infra dicit *ἀνώνυμός ἐστι κατὰ τὴν διαφοράν*. vid. Top, VIII, 5. Quintil. II, 15, 1. Muretus Var. Lect. XI, 18 Aristotelem hic duobus verbis persecare ea quae apud Platonem in Hippia minore fusius ac copiosius disputentur, monet; *προαίρεσις* ibi dicitur *ἐξ ἐπιβουλῆς* p. 214 seq. (370), sed dialogum illum quem Metaph. IV, 29 disertim refellit, hic notari non constat. Cicero part. orat. 23, 81:

et illam disputandi prudentiam imitatur concertatio captatioque verborum et hanc oratoriam vim inanis quaedam profluentia dicendi. Topic. IV, 5 p. 126, 30: *ὁρᾶν δὲ καὶ εἴ τι τῶν ψεκτῶν ἢ φευκτῶν εἰς δύναμιν ἢ τὸ δυνατὸν ἔθηκεν, οἷον τὸν σοφιστὴν [τὸν δυνάμενον ἀπὸ φαινομένης σοφίας χρηματίζεσθαι] ἢ διάβολον [τὸν δυνάμενον διαβάλλειν καὶ ἐχθροὺς ποιεῖν τοὺς φίλους] ἢ κλέπτην τὸν δυνάμενον τὰ ἀλλότρια λάθρᾳ κλέπτειν· οὐδεὶς γὰρ τῶν εἰρημένων τῷ δυνατὸς εἶναί τι τούτων τοιοῦτος λέγεται· δύναται μὲν γὰρ καὶ ὁ θεὸς καὶ ὁ σπουδαῖος τὰ φαῦλα δρᾶν, ἀλλ' οὐκ εἰσι τοιοῦτοι· πάντες γὰρ οἱ φαῦλοι κατὰ προαίρεσιν λέγονται,* ubi conf. Alexand. p. 176. Ald. Top. VI, 7.

19 *ὁ μὲν κατὰ τὴν ἐπιστήμην*] *ἐπιστήμης* nomine hic manifesto abusus est Aristoteles, ut multis aliis locis fecit; neque enim harum rerum vera scientia est, sed cepit *ἐπιστήμην* pro cognitione et intelligentia. Victorius.

24 *ἐξ ὑπαρχῆς*] Polit. IV, 6. Soph. el. 34 p. 183, 20. de anima II, 1. de gener. anim. II, 6 p. 741 b, 33. et 745, 18. histor. animalium VII, 2. 590, 21. part. anim. 4, 10. 685 b, 29.

Cap. II.

26 *ἔστω δὴ ῥητορικὴ*] Aldina *δ' ἡ*, quam praeter Victorium et Bekkerum omnes secuti sunt, contra Aristotelis usum, quem et nostri libri satis docent. I, 5: *ἔστω δὴ εὐδαιμονία εὐπραξία μετ' ἀρετῆς.* I, 6: *ἔστω δὴ ἀγαθὸν ὃ ἂν αὐτὸ ἑαυτοῦ ἕνεκα ᾖ αἱρετόν.* I, 7: *ἔστω δὴ ὑπερέχον μὲν τοσοῦτον καὶ ἔτι.* II, 2: *ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης.* II, 3: *ἔστω δὴ πράϋνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς.* II, 4: *ἔστω δὴ τὸ φιλεῖν τὸ βούλεσθαί τινι ἃ οἴεται ἀγαθά.* II, 5: *ἔστω δὴ φόβος λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ φθαρτικοῦ ἢ λυπηροῦ* ubi A *ὁ φόβος.* II, 6: *ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχή.* II, 7: *ἔστω δὴ χάρις καθ' ἣν ὁ ἔχων λέγεται χάριν ὑπουργεῖν δεομένῳ μὴ ἀντί τινος.* II, 8: *ἔστω δὴ ἔλεος λύπη τις ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ καὶ λυπηρῷ τοῦ ἀναξίου τυγχάνειν.* Imperativus si abest, dicit *ἔστι δὲ*

δημοκρατία vel *καλὸν μὲν οὖν* [*ἐστίν*; illis non convenit I, 11: *ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα ψυχῆς καὶ κατάστασιν ἀθρόαν*, quod est *ὑποκείσθω δὴ ἡμῖν*, item I, 13: *ἔστι δὴ τὸ ἀδικεῖσθαι τὸ ὑπὸ ἑκόντος τὰ ἄδικα πάσχειν*, h. e. *ἔστω δὴ* ut supra I, 10: *ἔστω δὴ τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα παρὰ τὸν νόμον*. In aliis tamen libris, ubi rem exponere incipit, legimus *ἔστι δή*, Top. I, 1: *ἔστι δὴ συλλογισμὸς λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει διὰ τῶν κειμένων*, ubi Alexander *δὲ* invenit; I, 2: *ἔστι δὴ πρὸς τρία*, ubi Alex. item *δέ*. Analyt. post. II, 12 p. 95, 27: *ἔστι δὴ ὁ συλλογισμός*, ut in Topicis. Sophist. el. cap. 2: *ἔστι δὴ τῶν ἐν τῷ διαλέγεσθαι λόγων τέτταρα γένη*. 15: *ἔστι δὴ πρὸς τὸ ἐλέγχειν ἓν μὲν μῆκος*, ubi C *δέ*. Anal. pr. I, 9 pag. 30, 37: *ἔστω δὴ πρῶτον τὸ καθόλου ἀναγκαῖον*, ita Bekk. sine varietate, Sylb. *ἔστω δέ*, conf. p. 31, 5. 81 b, 30. 87, 3. Polit. IV, 14: *ἔστι δὴ τρία μόρια τῶν πασῶν πολιτειῶν*. V, 2: *εἰσὶ δὴ σχεδὸν ὡς εἰπεῖν τρεῖς τὸν ἀριθμόν*, sic Bekk. pro vulg. *δέ*. Phys. III, 1: *ἔστι δή τι τὸ μὲν*, sed idem locus in Met. K, 9: *ἔστι δὲ τὸ μέν*. De generat. I, 10, p. 328, 18: *ἔστι δὴ ὡς ἔφαμεν*, recte, supra enim docuit quod sequitur, et sic ubique, si quae ante dicta sunt concludit; de coelo IV, 1 p. 308, 7: *λέγεται δὴ* initio disputationis. In Analyticis si exemplo res declaratur, semper est *ἔστω δή*, *εἰλήφθω δή*, semel Bekkerus Anal. post. II, 14 p. 98, 9 tacite *ἔστω δέ*, ubi editi ante eum *δή*. Eth. Nicom. VIII, 15 p. 1162 b, 25: *ἔστι δὴ νομικὴ μὲν ἡ ἐπὶ τοῖς ῥητοῖς*, vulg. *δ' ἡ*. Ethic. magna p. 1194 b, 4. 1195, 27. de coelo III, 3: *ἔστω δὴ στοιχεῖον*, vulg. cum L *τὸ στοιχεῖον*.

ἔστω δὴ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν] *δύναμιν* dicit, non scientiam *ἐπιστήμην*, quod haec certam quandam disciplinam, rhetorica vero non nisi formam comprehendit; ipse infra cap. 4, ubi de re et materia generis deliberativi loquitur, accurate exponit: *καθέκαστον μὲν οὖν ἀκριβῶς διαριθμήσασθαι καὶ διαλαβεῖν εἰς εἴδη περὶ ὧν εἰώθασι χρηματίζειν, ἔτι δὲ ὅσον ἐνδέχεται περὶ αὐτῶν διορίσαι κατὰ τὴν ἀλήθειαν, οὐ δεῖ κατὰ τὸν παρόντα καιρὸν ζητεῖν διὰ τὸ μήτε τῆς ῥητορι-*

κῆς εἶναι τέχνης, ἀλλ' ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς, πολλῷ δὲ πλείω δεδόσθαι καὶ νῦν αὐτῇ τῶν οἰκείων θεωρημάτων. ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες τυγχάνομεν, ἀληθές ἐστιν ὅτι ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς· ὁμοία δ' ἐστὶ τὰ μὲν τῇ διαλεκτικῇ, τὰ δὲ τοῖς σοφιστικοῖς λόγοις. ὅσῳ δ' ἄν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις, ἀλλ' ἐπιστήμας πειρᾶται κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων. Quae cum proprie non rem ipsam de qua agit, sed eius formam contineat, universalis est, περὶ ἕκαστον, non minus quam dialectica; unde rhetorica communia enthymemata quam maxime tractat, nec tamen iis quae ex re ipsa hauriuntur, carere potest; Aristoteles dilucide hoc capite infra exponit: τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ μάλιστα λεληθυῖα σχεδὸν πάντας ἐστὶν ἥπερ καὶ περὶ τὴν διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν· τὰ μὲν γὰρ αὐτῶν ἐστὶ κατὰ τὴν ῥητορικὴν ὥσπερ καὶ κατὰ τὴν διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν, τὰ δὲ κατ' ἄλλας τέχνας . . . κἀκεῖνα μὲν οὐ ποιήσει περὶ οὐδὲν γένος ἔμφρονα· περὶ οὐδὲν γὰρ ὑποκείμενόν ἐστιν· ταῦτα δὲ ὅσῳ τις ἂν βέλτιον ἐκλέγηται τὰς προτάσεις, λήσει ποιήσας ἄλλην ἐπιστήμην τῆς διαλεκτικῆς καὶ ῥητορικῆς· ἂν γὰρ ἐντύχῃ ἀρχαῖς, οὐκέτι διαλεκτικὴ οὐδὲ ῥητορικὴ ἀλλ' ἐκείνη ἔσται, ἧς ἔχει τὰς ἀρχάς. ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα τῶν κατὰ μέρος καὶ ἰδίων, ἐκ δὲ κοινῶν ἐλάττω. Ex hac doctrina rhetoricae quidem, ut Riccoboni verbis utamur, non licet illas res tractare quae sunt aliarum artium enthymematibus propriis ipsarum artium, sed sumptis ex communibus locis et ad vulgarem opinionem accommodatis, licet vero argumentis ductis ex communibus locis non solum agere de rebus civilibus, quae propositam habent actionem, verum etiam de naturalibus et de quacunque re. Quae rhetoricae utilitas ab ipso Aristotele agnoscitur maxima, ut aliae artes omnibus quidquid velint persuadere non possint, cum ea dicendi ratione utantur quae a scientia profi-

ciscitur, rhetorica vero apud omnes persuadeat, cum ex communibus ducat fidem et argumenta; neque solum ab eodem triplex orationum genus commemoratur, id est quaestio definita, verum etiam II, 22 infinita, quam ob rem, licet praecepta tradantur inprimis de tribus generibus causarum, tanquam de materia praecipua, non tamen caetera reiiciuntur. Haec Riccobonus; Aristoteles veterum sophistarum sententiam confirmat et quae Socrates ex his de arte rhetorica quaerit, refellit, sed posteriores, quae noster de eius natura et ratione exposuerit, minus attendisse, neque rite huius sententia examinata vel confutata alia approbasse, et ea quae de ipsius definitione disserunt, et quas ipsi subtiliores scilicet conferunt, docent.

Cicero de invent. I, 5, 7 seqq. neque enim ante hunc ex iis scriptoribus qui supersunt, alius de Aristotelis arte rhetorica disputavit: *Materiam artis eam dicimus, in qua omnis ars et ea facultas quae conficitur ex arte versatur; ut si medicinae materiam dicamus morbos ac vulnera, quod in his omnis medicina versetur; item quibus in rebus versatur ars et facultas oratoria eas res materiam artis rhetoricae nominamus. Has autem res alii plures, alii pauciores existimarunt. Nam Gorgias Leontinus, antiquissimus fere rhetor, omnibus de rebus oratorem optime posse dicere existimavit; hic infinitam et immensam huic artificio materiam subiicere videtur. Aristoteles autem, qui huic arti plurima adiumenta atque ornamenta subministravit, tribus in generibus rerum versari rhetoris officium putavit, demonstrativo, deliberativo, iudiciali . . . quare materia quidem nobis rhetoricae videtur ea, quam Aristoteli visam esse diximus.* cf. de orat. III, 32, 126. I, 6, 20. Veteres illi dicendi auctores fortasse non modo τὰς κοινὰς προτάσεις, verum etiam τὰς ἰδίας omnes conquirebant, unde error illorum et inanis labor; Aristoteles vero illas omnes et accuratissime comparatas rhetoricae convenire, has quidem non negligendas, sed alius generis quam rhetoricae esse probat. Cicero in his Aristotelis sententiam parum attendit, neque usquam philosophi nostri definitionem artis rhetoricae respicit.

Quintilianus II, 15, 13: *Quidam recesserunt ab eventu,*

sicut Aristoteles dicit: rhetorice est vis inveniendi omnia in oratione persuasibilia. Qui finis et illud vitium de quo supra diximus habet et insuper, quod nihil nisi inventionem complectitur, quae sine elocutione non est oratio . . . omnia subiecisse videtur oratori Aristoteles, cum dixit, vim esse videndi, quid in quaque re possit esse persuasibile. conf. Tacit. dial. 30. Non de suo alterum argumentum contra finem Aristot. profert; iam Philodemus Vol. Hercul. Oxon. tom. II. col. 23. qui item ex aliorum scriptis sumsisse videtur: *τῆς δ' αὐτῆς ἀδιαληψίας ἔχεται καὶ τοῦτο λεγόμενον ὑπό τινων, ὅτι μόνης ἢ μάλιστα τῆς ῥητορικῆς ἐστὶν τὸ τοὺς ἐνδεχομένους εἰς ἕκαστον λόγους ἐξευρίσκειν, διὸ καὶ τέλος αὐτῆς τοῦτ' εἶναί τινες ἔφησαν. πρῶτον μὲν γὰρ οὐθὲν διαφέρει τοῦτο τῆς εὑρέσεως, μᾶλλον δ' οὐδὲ τὸ περὶ τῶν πέντε τοῦ λόγου μερῶν τῆς εὑρέσεως· εὑρέσεις γάρ εἰσιν αἱ καθ' ἕκαστον ἐπιτεύξεις. . . . δεύτερον δὲ εἰ μὲν καὶ περὶ ἕκαστον τῶν ἐν ἰατρικῇ καὶ μουσικῇ καὶ γεωμετρίᾳ καὶ τῶν ἄλλων τοὺς ἐνδεχομένους εὑρίσκειν λόγους φασὶ τὴν ῥητορικήν, τὰ πάντ' αὐτὴν εἶναι νομίζουσι καὶ δῆλον ὅτι φαίνονται κατὰ τὴν ἐπαγγελίαν πρὸς πάντ' εὐποροῦντες.* Vides quantum hic distet ab Aristotelis sententia penitus excussa: pinguius idem col. 21: *ἀλλὰ μὴν οἱ μὲν τῶν σοφιστῶν τὰς κοινὰς φρένας ἔχοντες οὐ περὶ τῶν ἐν παντὶ προβλήματι προοιμίων καὶ διηγήσεων καὶ πίστεων καὶ ὑπεξαιρέσεων καὶ ἐπιλόγων ἑαυτοῖς οἴονται προσήκειν, ἀλλὰ τῶν ἐν τῷ πολιτικῷ, τὸ δὲ τῶν παχυτέρων πλῆθος ὡς μόνοις ταῦτ' ἐκπονεῖται λέγει,* quorum in numero gloriatur Aristoteles. Erant tamen alii qui finem coartatum improbarent, Rhet. Gr. II p. 117: *ἐν πράγματι πολιτικῷ. καὶ τούτῳ μέμφονταί τινες, οὐκ ἔδει γὰρ φασὶν ἐν πράγματι πολιτικῷ εἰρῆσθαι, ἀλλὰ καὶ παντὶ ἰατρικῷ καὶ φυσικῷ καὶ μαθηματικῷ καὶ ἁπλῶς ὅλοις τοῖς διὰ λόγων λεγομένοις. ταῦτα γὰρ πάντα παραλαβὼν ὁ ῥήτωρ καὶ τάξει καὶ ἑρμηνεύσει καὶ οἰκονομήσει κατὰ τὸ προσῆκον. ἡμεῖς δέ φαμεν, ὡς ἰδιαίτατον τοῦτο ῥήτορος ἐνταῦθα παραλαμβάνεται. μόνου γὰρ ῥήτορος τὸ περὶ τῶν πολιτικῶν διαλέγεσθαι.* Sed videamus varia de hoc Aristotelis fine iudicia in Rhetoribus Graecis:

II, pag. 102: Ἀριστοτέλης αὐτὴν ὡρίσατο οὕτως. ῥητορική ἐστι δύναμις τοῦ περὶ ἕκαστον ἐνδεχομένου λόγου τέλος ἔχουσα τὸ εὖ λέγειν, ὃν καὶ αἰτιῶνταί τινες ὡς δύο κακιῶν παρακολουθουσῶν τοῖς ὅροις, ὑπερβολῆς ἢ ἐλλείψεως, τὴν μίαν τῶν κακιῶν τὴν ὑπερβολὴν ἔχοντα καὶ παρὰ τοῦτο μὴ ἀντιστρέφοντα τῷ ὁριστῷ. ἔχει δέ φασι τὴν ὑπερβολὴν καθὸ οὐ μόνον τὴν ῥητορικὴν περιέχει, ἀλλὰ καὶ τὴν διαλεκτικήν· καὶ γὰρ ἡ διαλεκτικὴ δύναμίς τίς ἐστι τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου τέλος ἔχουσα τὸ εὖ λέγειν . . . ὁ μέντοι Γεωμέτρης ὀρθῶς φησὶν ἔχειν τὸν ὁρισμόν, παρόσον ἡ διαλεκτικὴ οὐκ ἔστι δύναμις τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου. τῶν γὰρ περὶ τὰ πολιτικὰ πιθανῶν λόγων ἀπορεῖ. μόνης γὰρ τῆς ῥητορικῆς ὕλη τὰ πολιτικὰ ζητήματα καὶ ἐνθυμήματα.

VI, pag. 16 Doxopater proleg. Rhet.: Ἀριστοτέλης τοίνυν ὁ φιλόσοφος ἀποδέδωκεν ὅρον τῆς ῥητορικῆς εἰπὼν ῥητορική ἐστι δύναμις τεχνικὴ τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου. ἡμάρτηται δὲ ὁ ὅρος οὗτος κατὰ τὸ ἐλλεῖπον. ἴσμεν γὰρ ὅτι δύο κακίαι ὅρων πεφύκασιν ὑπεροχή τε καὶ ἔλλειψις. εἰ μὲν γὰρ ὑπερέχει ὁ ὅρος τῇ λέξει, ἐλλείπει τοῖς πράγμασιν, εἰ δὲ ἐλλείπει τοῖς λόγοις, πλεονάζει τοῖς πράγμασιν. ἐπεὶ οὖν ὁ Ἀριστοτέλους ὅρος ἐνέλειψε κατὰ τὴν λέξιν, μὴ προστεθέντος πολιτικοῦ ἢ διεξοδικοῦ, ἐπλεόνασε τῷ πράγματι. οὐ μόνον γὰρ τὴν ῥητορικὴν ἐνταῦθα, ἀλλὰ καὶ τὴν διαλεκτικὴν περιλαμβάνει. τοῦτο γὰρ διαφέρει ῥητορικὴ διαλεκτικῆς, ὅτι ἡ μὲν διαλεκτικὴ περὶ παντὸς τοῦ προτεθέντος, οὐ μόνον περὶ πολιτικοῦ ἀλλὰ καὶ περὶ παντὸς πράγματος λέγει πιθανῶς κατὰ πεῦσιν καὶ ἀπόκρισιν, ἀλλ' οὐ διεξοδικῶς. οὐκοῦν ἀποφορτιστέον τὸν ὅρον τοῦ Ἀριστοτέλους ὡς ἐλλείποντα τῇ λέξει. Eadem fere schol. Aphthonii in Montefalc. bibl. Coisl. p. 593.

VI, pag. 50 Troilus Proleg.: ὁ δὲ Ἀριστοτέλης οὕτως ὁρίζεται· ῥητορική ἐστι δύναμις τοῦ περὶ ἑκάστου ἐνδεχομένου πιθανοῦ. ἰστέον γὰρ ὡς πᾶς ὅρος θέλει συνίστασθαι ἐκ γένους καὶ συστατικῶν διαφορῶν. διὰ τί; ἐπειδὴ πᾶν πρᾶγμα καὶ κοινότητα ἔχει καὶ διαφορὰν κατὰ

τὸν φιλόσοφον λόγον, ἡ δὲ κοινότης ἐν τῷ γένει. καὶ τοῦτο διαλαβὼν ἐν ταῖς συστατικαῖς ἐμφέρεται διαφοραῖς. ἐνταῦθα οὖν δύναμίς ἐστι γένος, μάλιστα δὲ δύναμις οἷον ὁ πλοῦτος, τὸ ξίφος, τὸ κάλλος. δύναμις δὲ ἡ ῥητορικὴ διότι εἰς ἑκάτερον ἐπιχειρηματική ἐστιν ἐπί τε τὸ δίκαιον, οὐ μὴν ἀλλὰ καὶ τὸ ἄδικον. τοῦτό ἐστι τὸ δύναμις τοῦ περὶ ἑκάστου πράγματος ἐνδεχομένου πιθανοῦ. καλῶς οὖν λέλεκται. οὐ γὰρ ἀδύνατος μεταχειρίζεσθαι, ἀλλ' ἐνδεχομένη πεῖσαι. ἰστέον δὲ ὡς ὅτι οὐκ ἀποδεχόμεθα οὐδὲ τὸν παρόντα Ἀριστοτελικὸν ὅρον. ἡμαρτημένος γάρ ἐστιν.

V, pag. 15 Sopater in Hermog.: *ἄλλοι δὲ δύναμιν θεωρητικὴν τοῦ περὶ ἕκαστα πιθανοῦ. καὶ οὗτος δοκεῖ Ἀριστοτέλους ὁ ὅρος.* Et pag. 16: *οἱ δὲ δὴ λέγοντες δύναμις θεωρητικὴ τοῦ περὶ ἕκαστα πιθανοῦ καὶ οὗτοι δοκοῦσιν εὖ λέγειν. τὸ γὰρ πιθανὸν καὶ οὐ πάντως ἀληθὲς ζητοῦσιν. ἀλλ' οὗτοι τὴν φύσιν τῆς τέχνης ἠγνόησαν. ὅπερ γὰρ φθάσαντες εἰρήκαμεν οὐ μόνον ἐστὶ θεωρητικὴ ἀλλὰ καὶ πρακτική. ἢ οὖν προσθετέον θεωρητικὴ καὶ πρακτικὴ τοῦ περὶ ἕκαστα πιθανοῦ ἢ ἐλλιπῶς ἔχει καὶ οὗτος. τὸ γὰρ πιθανὸν εὑρεῖν μόνον τῇ τέχνῃ κατέλιπεν, οὐδὲν δὲ ἐκ τοῦ πράττειν.*

V, pag. 213: *Ἀριστοτέλης δὲ δύναμιν τεχνικὴν τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου. οὐδ' οὗτος ἀποδεκτέος, ἁρμόζει δὲ καὶ τῇ διαλεκτικῇ.* III, pag. 611: *ἢ κατὰ τὸν Ἀριστοτέλην ῥητορική ἐστι δύναμις τεχνικὴ τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου, ὃς ἡμάρτηται κατὰ τὸ ἐλλεῖπον μὴ ἔχον προστεθειμένον τὸ πολιτικοῦ· συμπεριλαμβάνει γὰρ ἐντεῦθεν καὶ τὴν διαλεκτικήν.*

Discrimen quod inter dialecticam et rhetoricam est, ex his ipsis quae Arist. dicit, elucet, et pluribus in Rhet. Graec. tom. VII, p. 36—39 exponitur. Alex. quoque Aphrod. ad Top. p. 4 illud *περὶ ἕκαστον* quodammodo non satis agnoscit: *καὶ ὁ ῥήτωρ δὲ εἰ καὶ μὴ περὶ παντὸς ὁμοίως τῷ διαλεκτικῷ, ἀλλ' οὖν οὐδ' αὐτὸς περὶ ἕν τι γένος ἀφωρισμένον. καὶ γὰρ περὶ ἰατρικῶν ὁ ῥήτωρ λέγει καὶ περὶ φιλοσόφων καὶ περὶ μουσικῶν, μάλιστα δὲ περὶ τῶν πολιτικῶν. δοκεῖ γὰρ τοῦ ῥήτορος οἰκεία ὕλη εἶναι*

ἢ ἐν τοῖς πολιτικοῖς τε καὶ πρακτικοῖς, καὶ περὶ ἁπάντων περὶ ὧν ἂν λέγῃ καὶ αὐτὸς ἐκ πιθανῶν τινων καὶ ἐνδόξων τὰς ἐπιχειρήσεις ποιήσεται ὁμοίως τῷ διαλεκτικῷ. καὶ γὰρ αὐτὸς εἰς τὰ ἀντικείμενα ἐπιχειρεῖ τὸ αὐτὸ ποτὲ μὲν καλόν, ποτὲ δὲ οὐ καλόν, καὶ ποτὲ μὲν συμφέρον, ποτὲ δὲ μή, καὶ ποτὲ μὲν δίκαιον, ποτὲ δὲ μὴ δεικνύς, ὥστε κοινὸν αὐταῖς καὶ τοῦτο τὸ ὁμοίως πρὸς ἀμφοτέρων τὰ ἀντικείμενα ταῖς δυνάμεσι χρῆσθαι . . . κοινὸν γοῦν αὐταῖς τό τε μὴ περὶ ἕν τι γένος ἀφωρισμένον πραγματεύεσθαι καὶ τὸ δι' ἐνδόξων καὶ πιθανῶν καὶ μὴ δι' οἰκείων ἀρχῶν τῷ προκειμένῳ καὶ τὸ ὁμοίως περὶ τὰ ἀντικείμενα ἀλλήλοις εἶναι, διαφέρουσι δὲ ἀλλήλων τῷ τὸν μὲν διαλεκτικὴν περὶ πᾶσαν ὕλην τῇ δυνάμει χρῆσθαι καὶ μὴ διεξοδικοὺς ποιεῖσθαι τοὺς λόγους, ἀλλ' ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει, τὴν δὲ ῥητορικὴν μήτε περὶ πᾶσαν ὕλην ὁμοίως εἶναι τῇ διαλεκτικῇ· περὶ γὰρ τὴν πολιτικὴν μᾶλλον ὁ ῥήτωρ, ὡς προείρηται καὶ διεξοδικῶς γε ὡς ἐπὶ τὸ πλεῖστον χρῆται τῷ λόγῳ καὶ περὶ τῶν καθ' ἕκαστα μᾶλλον λέγει. πρὸς γὰρ τὰς περιστάσεις καὶ τὰς τύχας τε καὶ τοὺς καιροὺς καὶ τὰ πρόσωπα καὶ τοὺς τόπους καὶ τὰ τοιαῦτα τοὺς λόγους σχηματίζει ἅπερ ἐν τοῖς καθ' ἕκαστά ἐστι, περὶ τῶν τοιούτων γὰρ αἵ τε δίκαι καὶ αἱ συμβουλαὶ καὶ τὰ ἐγκώμια . . . προσκείμενον δὲ τὸ περὶ παντὸς χωρίζει πως τῆς ῥητορικῆς τὴν διαλεκτικήν. οὐ γὰρ ὁμοίως περὶ παντὸς προβλήματος ἡ ῥητορικὴ συλλογιστική. ὕλη γὰρ μᾶλλον τῷ ῥήτορι τὰ ἠθικά τε καὶ πολιτικὰ προβλήματα ὡς προειρήκαμεν ἃ δι' ἐνδόξων πειρᾶται αὐτὴ ἀποδεικνύναι, κοινότερον δὲ τὸ περὶ παντὸς εἶπε καθόσον καὶ περὶ φυσικῶν καὶ περὶ ἠθικῶν καὶ περὶ λογικῶν προβλημάτων ὁ διαλεκτικὸς διαλαμβάνει. Illud μᾶλλον et μάλιστα optime sententiae Aristotelis convenit, reliqua tamen, etiamsi raro usitata non prorsus exclusa esse, ex eo quod rhetorica certo et definito non comprehendatur genere, apparet.

Non primus Aristoteles hanc definitionem protulisse videtur, quam ipse infirmat Top. VI, 12 p. 149: ἐνίοτε δ' ὁρίζονται οὐ τὸ πρᾶγμα, ἀλλὰ τὸ πρᾶγμα εὖ ἔχον ἢ τετελεσμένον. τοιοῦτος δ' ὁ τοῦ ῥήτορος καὶ ὁ τοῦ κλέπτου ὅρος,

εἴπερ ἐστὶ ῥήτωρ μὲν ὁ δυνάμενος τὸ ἐν ἑκάστῳ πιθανὸν θεωρεῖν καὶ μηδὲν παραλείπειν, κλέπτης δ' ὁ λάθρᾳ λαμβάνων. δῆλον γὰρ ὅτι τοιοῦτος ὢν ἑκάτερος ὁ μὲν ἀγαθὸς ῥήτωρ ὁ δ' ἀγαθὸς κλέπτης ἔσται· οὐ γὰρ ὁ λάθρᾳ λαμβάνων, ἀλλ' ὁ βουλόμενος λάθρᾳ λαμβάνειν κλέπτης ἐστίν. Idem supra de vocabulo *κλέπτης* monitum IV, 5 p. 126, 30. Sed quod de homine dictum offendit, id ad rem, ad rhetoricam, translatum non offendet, quod ipse praecipit Top. VIII, 1 p. 156, 27; facile enim *ἔνστασιν* invenies, si dicis *ὁ ὀργιζόμενος ὀρέγεται τιμωρίας διὰ φαινομένην ὀλιγωρίαν,* non invenies, si dixeris *ὀργὴ ὄρεξις τιμωρίας διὰ φαινομένην ὀλιγωρίαν.*

Sextus Empiricus adv. Rhetores p. 290: *Ἀριστοτέλης δὲ ἐν τῷ πρώτῳ τῶν ῥητορικῶν τεχνῶν ἁπλούστερον παραδίδωσι τὴν ῥητορικὴν τέχνην λόγων. καὶ ζητουμένου πρὸς αὐτὸν ὅτι καὶ ἡ ἰατρικὴ τέχνη ἐστὶ λόγων ἰατρικῶν ἀπολογούμενοί τινές φασιν ὅτι ἡ ἰατρικὴ τοὺς λόγους ἐφ' ἕτερόν τι ἀναφέρει τέλος καθάπερ τὴν ὑγίειαν, ἡ δὲ ῥητορικὴ ἄντικρύς ἐστι λόγων τέχνη. καὶ ἄλλους δὲ ἐκτίθεται ὁ ἀνὴρ οὗτος ὅρους περὶ ὧν οὐκ ἀναγκαῖόν ἐστιν ἡμῖν λέγειν τοῖς μὴ προηγουμένως τὸν περὶ ῥητορικῆς διεξοδεύουσι λόγον.* conf. p. 301. Nunquam Aristoteles rhetoricam *τέχνην λόγων* dixit neque alium artis finem quam quem hic legimus, tradidit; qui *τέχνην λόγων* dicebant, paucis comprehenderunt philosophi sententiam, cui ne quis quod Sextus affert, obiiceret, auctor ipse substratum esse certum arti negans, cavit. Quomodo logici in Aristotelis definitione illud *ἐνδεχόμενον* tribus argumentis *κενοῖς καὶ διαλεκτικοῖς* confutarint, vide apud eundem Sext. Empir. p. 690 Bkk. seq.

De hac Aristotelis definitione et quas posteri excogitarunt, vid. quae in Mus. Rhen. XVIII, 481—526 accuratius exposuimus.

29 *διδασκαλικὴ καὶ πειστικὴ*] Plat. Gorg. p. 20 (255): *ἡ ῥητορικὴ ἄρα, ὡς ἔοικε, πειθοῦς δημιουργός ἐστι πιστευτικῆς, ἀλλ' οὐ διδασκαλικῆς περὶ τὸ δίκαιόν τε καὶ ἄδικον. Ναί. Οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐστὶ δικαστηρίων τε καὶ τῶν ἄλλων ὄχλων δικαίων τε πέρι καὶ ἀδίκων, ἀλλὰ πιστικὸς μόνον. οὐ γὰρ δήπου ὄχλον γ' ἂν*

δύναιτο τοσοῦτον ἐν ὀλίγῳ χρόνῳ διδάξαι οὕτω μεγάλα πράγματα. De vocabulo πειστικὸς et πιστικὸς vid. Ast. h. l. pag. 50—55.

29 ἰατρικὴ] Hanc et alias Plato cum rhetorica contulit p. 9 (450). 11 seqq. Arist. Ethic. Nicom. VI, 11: ἔστι δὲ καὶ ἡ σύνεσις καὶ ἡ ἀσυνεσία [leg. εὐσυνεσία] καθ' ἃς λέγομεν συνετοὺς καὶ ἀσυνέτους [leg. εὐσυνέτους] οὔθ' ὅλως τὸ αὐτὸ ἐπιστήμῃ ἢ δόξῃ (πάντες γὰρ ἂν ἦσαν συνετοὶ) οὔτε τις μία τῶν κατὰ μέρος ἐπιστημῶν, οἷον ἰατρικὴ περὶ ὑγιεινῶν ἢ γεωμετρία περὶ μεγέθους. ubi vulgata cum bonis libris περὶ μεγέθη, mira casuum variatione, de qua conf. Bernhardy Syntax p. 201, Bonitz Ar. Stud. I, 19; etiam nostro loco A et vet. transl. ὑγιεινῶν καὶ νοσερῶν et ἀριθμῶν. III, 12: περὶ μὲν οὖν τῆς λέξεως εἴρηται καὶ κοινῇ περὶ ἁπάντων καὶ ἰδίᾳ περὶ ἕκαστον γένος. III, 17 p. 1418, 2: ἡ μὲν γὰρ περὶ τὸ μέλλον . . ἡ δὲ περὶ ὄντων ἢ μὴ ὄντων. I, 4: ληπτέον περὶ ποῖα ἀγαθὰ . . ὁ συμβουλεύων συμβουλεύει . . περὶ δὲ τούτων οὐκ ἔστι συμβουλή. Met. I, 3 p. 982, 7. 20 ex cod. A. — nos A secuti sumus, ceteri ὑγιεινὸν καὶ νοσερόν, item ἀριθμόν.

33 περὶ τοῦ δοθέντος ὡς εἰπεῖν] Sic loquitur, quia intelligit, materias esse quasdam valde remotas a studio oratoris et in quibus artificium dicendi minus valet; nec tamen non illic etiam, si illud tenet, videbit aliquid, quod possit ad id quod voluerit de illis probandum, arripere. Victorius. Intellige de quavis fere re, περὶ παντός, nam in universali sententia dicitur ὡς εἰπεῖν, conf. ad Poetic. cap. 6.

34 οὐ περί τι γένος ἴδιον] Cf. Rhet. Graeci II p. 71. VII p. 35.

35 τῶν δὲ πίστεων αἱ μὲν ἄτεχνοί εἰσιν αἱ δ' ἔντεχνοι] Auctor huius divisionis hic noster fuit, quam reliqui postea scriptores artis probarunt. Prima aetate Cicero ab ea dissentire coepit et audacter sibi errare videri dixit (de invent. II, 14, 47) illos qui suspicionum genus aliquod artificii non egere putarunt; ipse tamen postea cum melius de his iam rebus iudicare posset, errorem suum agnovit et sententiam Aristotelis secutus est. In II autem libro (27, 114) de oratore de his copiose disseruit. Quintilianus etiam libro V, 1 inquit:

ac prima quidem illa partitio ab Aristotele tradita consensum fere omnium meruit, alias esse probationes quas extra dicendi rationem acciperet orator, alias quas ex causa traheret ipse et quodammodo gigneret. Victorius. Conf. Riccob. ad I, 15 p. 176. Cicero quid sentiat, ipse dicit, Part. orat. 14, 48: *illa (arte) vero indigent, nec eo sine arte dicuntur, quod ita sunt, sed quod ea non parit oratoris ars, sed foris ad se delata tamen arte tractat et maxime in testibus.* Topic. 24. Victor p. 209 Or. 226. Anaximenes cap. 8. 15 solus a vulgari usu discedit: *εἰσὶ δὲ δύο τρόποι τῶν πίστεων. γίνονται γὰρ αἱ μὲν ἐξ αὐτῶν τῶν λόγων καὶ τῶν πράξεων καὶ τῶν ἀνθρώπων, αἱ δὲ ἐπίθετοι τοῖς λεγομένοις καὶ τοῖς πραττομένοις.* Cicero in part. orat. saepe *assumpta* dicit. Rhet. Gr. III, 457. IV, 95. V, 221. VII, 22. 190. Apsines IX, 502. 531. Minucianus IX, 601 seq. Vol. Hercul. coll. alt. III, 184: *τῶν δὲ πίστεων τὰς μὲν ἀτέχνους κοινὰς πάντων ὑπάρχειν, τῶν δ' ἐντέχνων τὸ εἰκὸς καὶ τὸ σημεῖον καὶ τὸ τεκμήριον οὐδὲν αὐτοῖς προσήκειν, ἀλλὰ τὸ μὲν σημεῖον εἶναι τοῦ παρηκολουθηκότος ἴδιον οἷον τὸ μὲν ἐν νόσοις ἰατροῦ, τὸ δ' ἐν τοῖς περὶ πλεῖν χ(ειμῶ)σιν κυβερνήτου, παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, τὸ δ' εἰκὸς τοῦ παραθεωρήσαντος πῶς τε* . . . quibus nescio quis tangitur, conf. fol. 189.

36 *ἄτεχνα δὲ λέγω*] Cicero de orat. II, 116: *Ad probandum autem duplex est oratori subiecta materies, una rerum earum, quae non excogitantur ab oratore, sed in re positae ratione tractantur . . . quae non ab oratore pariuntur, sed ad oratorem a causa atque a reis deferuntur; altera est quae tota in disputatione et argumentatione oratoris collocata est.* vid. Arist. I, 15. Alexander apud inc. rhetorem in Notices et extraits XIV, 199: *ἔργον δὲ τοῦ ῥήτορος ἐν ταῖς ἀτέχνοις πίστεσι τὰ μὲν βοηθοῦντα αὐξῆσαι καὶ βεβαιῶσαι, τὰ δὲ καθ' ἡμῶν ἐπισμικρῦναι καὶ ὡς οὐκ ἀξιόπιστα διαβαλεῖν, τὸ δὲ ὅλον τούτων τῶν πίστεων ἡ μὲν εὕρεσις ἄτεχνος, ἡ δὲ χρῆσις ἔντεχνος.* Iulius Victor cap. VI, 7.

37 *οἷον μάρτυρες βάσανοι συγγραφαὶ καὶ ὅσα τοιαῦτα*] I, 15: *εἰσὶ δὲ πέντε τὸν ἀριθμόν, νόμοι μάρτυρες συνθῆκαι βάσανοι ὅρκος* eaque ibi multis exponuntur.

1 *τὰ δὲ εὑρεῖν*] Muretus legit *τὰ δὲ καὶ εὑρεῖν*. Riccobonus. pag. 1356

2 *πίστεων τρία εἴδη ἐστίν*] Dionys. Halic. de Lysia cap. 19. quem indicavit Victorius. Cic. de orat. II, 27, 115: *ita ratio omnis dicendi tribus ad persuadendum rebus est nixa, ut probemus vera esse ea quae defendimus, ut conciliemus nobis eos qui audiunt, ut animos eorum ad quemcunque causa postulabit motum, vocemus.* Item § 121. 310. 128: *meae totius orationis et istius ipsius in dicendo facultatis, quam modo Crassus in caelum verbis extulit, tres sunt rationes, ut ante dixi, una conciliandorum hominum, altera docendorum, tertia concitandorum; harum trium partium prima lenitatem orationis, secunda acumen, tertia vim desiderat; nam hoc necesse est, ut is qui nobis causam adiudicaturus sit, aut inclinatione voluntatis propendeat in nos, aut defensionis argumentis adducatur, aut animi permotione cogatur.* Orator. 128. orat. partit. 46. Quint. XI, 3, 154. Minucianus IX pag. 601: *τῶν δὲ ἐντέχνων πίστεων αἵ μέν εἰσιν ἠθικαί, αἵ δὲ παθητικαί, αἵ δὲ λογικαὶ αἵ αὐταὶ καὶ πραγματικαί.* V, 506: *τῶν δὲ πίστεων αἵ μέν εἰσιν ἄτεχνοι, . . αἵ δὲ ἔντεχνοι, τῶν δὲ ἐντέχνων εἴδη τρία· αἵ μὲν γάρ εἰσι λογικαί τε καὶ πρακτικαὶ* (scrib. *πραγματικαί*), *αἵ δὲ ἠθικαί, αἵ δὲ παθητικαί. λογικὴ μὲν οὖν πίστις ἐστὶ λόγος αὐτοῦ τοῦ πράγματος περὶ οὗ ὁ λόγος, τὰς ἀποδείξεις δι' ἐπιχειρημάτων ποιούμενος . . ἠθικὴ δὲ πίστις ἐστὶ λόγος ἀπὸ τῆς τοῦ προσώπου ποιότητος τὴν πίστιν παρεχόμενος. παθητικὴ δὲ λόγος εἰς πάθος ὅπερ ὁ λέγων βούλεται, τὸν ἀκροατὴν ἐκτρέπων καὶ ἄνευ τῆς τῶν πραγμάτων ἀποδείξεως, οἷον ὀργὴν φθόνον ἔλεον εὔνοιαν.*

5 *διὰ μὲν οὖν τοῦ ἤθους*] I, 8: *ἐπεὶ δὲ οὐ μόνον αἵ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου, ἀλλὰ καὶ δι' ἠθικοῦ, τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα πιστεύομεν, τοῦτο δ' ἐστὶν ἂν ἀγαθὸς φαίνηται ἢ εὔνους ἢ ἄμφω, δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάστης ἔχειν ἡμᾶς.* II, 1. 12—14. Plat. Gorgias p. 143 (513): *τῷ αὐτῶν γὰρ ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσιν, τῷ δὲ ἀλλοτρίῳ ἄχθονται.* Charmadas ap. Ciceron. de orat. I, 19, 87: *caput esse arbitrabatur oratoris, ut et ipsis apud quos*

ageret, talis, qualem se ipse optaret, videretur; id fieri vitae dignitate, de qua nihil rhetorici isti doctores in praeceptis suis reliquissent, et uti eorum qui audirent, sic afficerentur animi, ut eos affici vellet orator, quod item fieri nullo modo posse, nisi cognosceret is qui diceret, quot modis hominum mentes et quibus rebus et quo genere orationis in quamque partem moverentur. intelligit ἤθη et πάθη. Demosth. παραπρ. § 339* p. 450: ἔτι τοίνυν ὅταν μὲν ἴδητε δεινότητα ἢ εὐφωνίαν ἤ τι τῶν ἄλλων τῶν τοιούτων ἀγαθῶν ἐπὶ χρηστοῦ καὶ φιλοτίμου γεγενημένον ἀνθρώπου, συγχαίρειν καὶ συνασκεῖν πάντας δεῖ. κοινὸν γὰρ ὑμῖν πᾶσι τοῖς ἄλλοις τοῦτ' ἀγαθὸν γίγνεται· ὅταν δ' ἐπὶ δωροδόκου καὶ πονηροῦ καὶ παντὸς ἥττονος λήμματος, ἀποκλείειν καὶ πικρῶς καὶ ἐναντίως ἀκούειν, ὡς πονηρία δυνάμεως δόξαν εὑρομένη παρ' ὑμῶν ἐπὶ τὴν πόλιν ἐστίν. ὁρᾶτε δ' ἀφ' ὧν οὗτος εὐδοκιμεῖ, πηλίκα τῇ πόλει περιέστηκε πράγματα. αἱ μὲν τοίνυν ἄλλαι δυνάμεις ἐπιεικῶς εἰσὶν αὐτάρκεις, ἡ δὲ τοῦ λέγειν, ἂν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων ἀντιστῇ, διακόπτεται. οὕτως οὖν ἀκούετε τούτου ὡς πονηροῦ καὶ δωροδόκου καὶ οὐδ' ὁτιοῦν ἐροῦντος ἀληθές. Fortasse nostrum locum intellexit Quintilianus V, 12, p. 452 Burm.: *His quidam probationes adiiciunt quas παθητικὰς vocant, ductas ex affectibus; atque Aristoteles quidem potissimum putat ex eo qui dicit, si sit vir optimus, quod ut optimum est, ita longe quidem, sed sequitur tamen videri.* Dicit enim auctor σχεδὸν ὡς ἔπος εἰπεῖν τὴν κυριωτάτην ἔχει πίστιν τὸ ἦθος.

9 διὰ τὸν λόγον] Vetus transl. *oportet et accidere hoc non per orationem, sed propter proopinari qualem quendam esse dicentem,* legisse itaque videtur συμβαίνειν μὴ διὰ τὸν λόγον, ἀλλὰ διὰ τὸ προδεδοξάσθαι. Reddendum id quod in A apparet συμβαίνειν διὰ τοῦ λόγου, ἀλλὰ μὴ διὰ τοῦ, ubique enim genitivus apparet.

10 οὐ γὰρ ὥσπερ ἔνιοι] Vid. Muretus in Var. Lect. II, 1 et Lambini epistola in Mureti var. lect. tom. I p. 398 Ruhnk. qui corrigit, τεχνολογούντων οἵ οὐ τιθέασι ἐν τῇ τέχνῃ τὴν ἐπιείκειαν: *non enim ita res se habet, ut quidam magistri, qui de arte scripserunt, existimant, qui non ponunt in*

iis quae sunt artis, probitatem dicentis. conf. Spald. ad Quintil. V, 12, 9. III, 2: οὐ γὰρ ὡς ἔφη Βρύσων, οὐδένα αἰσχρολογεῖν. Hanc Lambini emendationem probat Wolfius Auctar. ad Vat. Animadv. pag. 202. Nil mutandum; III, 17: ἔχοντα μὲν οὖν ἀποδείξεις καὶ ἠθικῶς λεκτέον καὶ ἀποδεικτικῶς, ἐὰν δὲ μὴ ἔχῃς ἐνθυμήματα, ἠθικῶς. καὶ μᾶλλον τῷ ἐπιεικεῖ ἁρμόττειν χρηστὸν φαίνεσθαι τὸν λόγον ἢ ἀκριβῆ.

13 σχεδὸν ὡς εἰπεῖν κυριωτάτην] Ita dixit, quod multo maioris et gravioris momenti est enthymema, quod ipse supra nominavit cap. 1: ὡς εἰπεῖν ἁπλῶς κυριώτατον τῶν πίστεων. Isocrat. περὶ ἀντιδόσ. § 278—80: καὶ μὴν οὐδ' ὁ πείθειν τινὰς βουλόμενος ἀμελήσει τῆς ἀρετῆς, ἀλλὰ τούτῳ μάλιστα προσέξει τὸν νοῦν, ὅπως δόξαν ὡς ἐπιεικεστάτην λήψεται παρὰ τοῖς συμπολιτευομένοις. τίς γὰρ οὐκ οἶδε καὶ τοὺς λόγους ἀληθεστέρους δοκοῦντας εἶναι τοὺς ὑπὸ τῶν εὖ διακειμένων λεγομένους ἢ τοὺς ὑπὸ τῶν διαβεβλημένων καὶ τὰς πίστεις μεῖζον δυναμένας τὰς ἐκ τοῦ βίου γεγενημένας ἢ τὰς ὑπὸ τοῦ λόγου πεπορισμένας et quae sequuntur. Anaximenes cap. 39. Eurip. Hec. 297:

τὸ δ' ἀξίωμα κἂν κακῶς λέγῃς, το σὸν
πείσει. λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰών,
κἀκ τῶν δοκούντων αὑτός, οὐ ταὐτὸν σθένει.

Menander p. 201 M.:

τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος.

Plut. Phoc. 5 (Demosth. 10): ὁ δὲ Δημοσθένης τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνισταμένου δὲ Φωκίωνος εἰώθει λέγειν ἄτρεμα πρὸς τοὺς φίλους· ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεστιν. ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιστέον, ἐπεὶ καὶ ῥῆμα καὶ νεῦμα μόνον ἀνδρὸς ἀγαθοῦ μυρίοις ἐνθυμήμασι καὶ περιόδοις ἀντίρροπον ἔχει πίστιν. Aeschines κατὰ Τιμάρχου § 30: οὐδ' ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ το βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλ' οὐ βίου. καὶ παρα μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, κἂν πάνυ κακῶς καὶ ἁπλῶς ῥηθῇ, χρήσιμα τὰ λεγόμενα ἡγήσατο εἶναι τοῖς ἀκούουσι, παρὰ δὲ ἀνθρώπου βδελυροῦ καὶ καταγελάστως μὲν κεχρημένου τῷ ἑαυτοῦ σώματι, αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εὖ πάνυ λέγῃ συνοίσειν ἡγήσατο τοῖς

ἀκούουσι. § 179: *περὶ παραπρ.* § 150: *ἐκπέπληγμαι δὲ εἰ σὺ λοιδορεῖν Φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν τοῖς ἐπιεικεστάτοις Ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι δικάσοντες ἕνεκα τοῦ βελτίστου τῆς πόλεως καὶ μᾶλλον προσέχουσι τοῖς βίοις ἡμῶν ἢ τοῖς λόγοις.*

15 *οὐ γὰρ ὁμοίως ἀποδίδομεν*] Vid. I, 1. II, 1. Tacit. dial. 31: *ex his fontibus etiam illa profluunt, ut facilius iram iudicis vel instiget vel leniat qui scit, quid sit ira, et promptius ad miserationem impellat qui scit, quid sit misericordia et quibus animi motibus concitetur,* et quae porro adnotatu digna leguntur.

18 *περὶ τῶν παθῶν*] Ita et v. 24, sed II, 22 p. 1396 b, 33 *παθημάτων.* Conf. Ueber die *κάθαρσις* p. 39.

19 *διὰ δὲ τῶν λόγων πιστεύουσιν*] Vetus translatio: *per orationes autem credimus* non interpretis ut videtur, sed librarii errore; verbum ipsum *πιστεύουσιν* hic aeque atque in praecedentibus *διὰ μὲν οὖν τοῦ ἤθους . . διὰ δὲ τῶν ἀκροατῶν,* in quibus intelligendum *πίστεις εἰσί,* omitti poterat. Singularem supra dixit numerum scribens *ἐν αὐτῷ τῷ λόγῳ,* h. e. sola oratione, nulla alia externa re assumpta; nam et priores species oratione efficiuntur, et genus est ad *διὰ τοῦ λόγου ποριζόμεναι πίστεις*; multitudinis numerum evitat A: *διὰ δὲ τὸν λόγον,* sed scribendum et hic *δι' αὐτοῦ δὲ τοῦ λόγου* vel *διὰ δ' αὐτοῦ τοῦ λόγου.* Idem Muretus sensit vertens: *oratione autem ipsa adducti credunt.*

20 *ἀληθὲς ἢ φαινόμενον*] Repetere auctor solet post verbum praecedens vocabulum, ut et hic eius usus *φαινόμενον ἀληθὲς* requirere videatur, I, 10 p. 1369 b, 26: *τὴν τῶν λυπηρῶν ἢ φαινομένων ἢ ἀπαλλαγὴν ἢ μετάληψιν,* quod tamen fortasse cum adiectivum supra saepius repetitum legatur, facilius feras. — *ἀληθὲς* addidit Bekker[3], conf. über die Rhet. des Ar. p. 26.

21 *ταῦτα τὰ τρία*] *ἐνθύμημα, ἦθος, πάθος,* de quorum posterioribus duobus Charmadas ap. Ciceron. de orat. I, 19, 8 in verbis supra allatis pergit: *haec autem esse penitus in media philosophia retrusa atque abdita, quae isti rhetores ne primoribus quidem labris attigissent.* Haec Plato in Phaedro p. 86—95 (269—274) ab artium scriptoribus et oratoribus

flagitans adumbravit; sed primariae partis, enthymematis, expositio Aristotelis ingenio debetur.

23 *τί τε ἕκαστόν ἐστι τῶν παθῶν καὶ ποῖόν τι, καὶ ἐκ τίνων ἐγγίνεται καὶ πῶς*] Accuratius infra II, 1: *δεῖ δὲ διαιρεῖν τὰ περὶ ἕκαστον εἰς τρία. λέγω δ' οἷον περὶ ὀργῆς πῶς τε διακείμενοι ὀργίλοι εἰσὶ καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι καὶ ἐπὶ ποίοις· εἰ γὰρ τὸ μὲν ἓν ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντα δὲ μή, ἀδύνατον ἂν εἴη τὴν ὀργὴν ἐμποιεῖν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων*, qua tripartita ratione singulos affectus examinat.

δι' ἀρετὴν ὄντες· ὅταν δ' ἄντικρυς ᾖ τι τῶν ἰδίων, δῆλοι γίνονται ὅτι ἕτεροι ἦσαν. ἐκ περιουσίας γὰρ διώκουσιν οἱ πολλοὶ τὸ καλόν. ubi quomodo sit haec lis diiudicanda, infra exponit. Pseudodemosth. p. 1335 § 39: ἐγὼ δὲ τὰς μὲν τούτων προφάσεις, ὦ ἄνδρες δικασταί, καὶ τὰς κατηγορίας καὶ τὰς προσποιήτους ταυτασὶ ἔχθρας οὐ λανθάνειν ὑμᾶς νομίζω. οὐ γὰρ ὀλιγάκις ἑωράκατ' αὐτοὺς ἐπὶ μὲν τῶν δικαστηρίων καὶ τοῦ βήματος ἐχθροὺς εἶναι φάσκοντας ἀλλήλοις, ἰδίᾳ δὲ ταὐτὰ πράττοντας καὶ μετέχοντας τῶν λημμάτων, καὶ τοτὲ μὲν λοιδορουμένους καὶ πλύνοντας αὐτοὺς τἀπόρρητα, μικρὸν δὲ διαλείποντας τοῖς αὐτοῖς τούτοις ἐνδεκάζοντας καὶ τῶν αὐτῶν ἱερῶν κοινωνοῦντας. καὶ τούτων οὐδὲν ἴσως θαυμάσαι ἄξιόν ἐστι· φύσει τε γάρ εἰσι πονηροὶ καὶ τὰς τοιαύτας προφάσεις ὁρῶσιν ὑμᾶς ἀποδεχομένους, ὥστε τί κωλύει ταύταις αὐτοὺς χρωμένους ἐξαπατᾶν ὑμᾶς πειρᾶσθαι; Ex hoc genere sunt orationes pro Megalopolitis (conf. § 24), Rhodior. libertate; Athenaeus III p. 122 A B. ibique Theodorus et Sophocles. Isocrat. Panath. § 243—244.

33 ἄλλος ἐκ τοῦ ἀνάλογον ταῦτα συμβαίνειν] Decimus sextus locus; Rhet. Graec. V, 404: ὄγδοος ἐκ τοῦ ἀναλόγου οἷον ὥσπερ τις τοὺς μισθοφόρους ποιεῖται πολίτας δι' ἐπιείκειαν, οὕτω καὶ φυγάδας ποιεῖταί τις ἐν τοῖς μισθοφόροις τὸ ἀνῆκον διαπραττόμενος. Quae ex Aristotele restituenda sunt: ποιεῖται τοὺς ἐν τοῖς μ. ἀνήκεστα διαπραττομένους. Quintil. V, 11 p. 446. Non multum hic locus abhorret ab illo ἐκ τοῦ πρὸς ἄλληλα. — Lysias XX, 34—35.

ταῦτα solus A et vet. transl. servant, nec si abesset, requireretur.

3 οἷον Στράβακα καὶ Χαρίδημον] Demosth. adv. Lept. pag. 1399 b § 84 p. 482.

5 ἄλλος ἐκ τοῦ τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτόν] Decimus septimus locus, in Victorii libro dictus: ἐκ τοῦ ἓν ἀποτέλεσμα ἐξ ἀμφοῖν δείκνυσθαι τῶν ἐναντίων καὶ αἴτια ταὐτὰ ἑνός τινος. Verba vix integra, quidni simpliciter: τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτὸν καὶ ἐξ ὧν συμβαίνει, vel omisso ταὐτὸν sub finem συμβαίνει ταὐτά?

Exempla huius loci Demosth. in Aristocr. § 94 p. 652.,

Lysias IX, 21. X, 31. XII, 35 seqq. XIII, 93 seqq. XXVI, 14. 16. XXVII, 7. XXVIII, 10. XXX, 23.

6 Ξενοφάνης] Vid. Brandis hist. philos. I, 357. 360.

9 ἑκατέρου] Necessario ἑκάστου ex A restituendum.

9 μέλλετε δὲ κρίνειν οὐ περὶ Ἰσοκράτους ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν] Omnes libri περὶ Σωκράτους et exemplum ex Theodectis Socrate sumptum esse putavit Victorius, cui probe convenit, si hunc condemnaveritis, et philosophiam condemnastis. Isocratem*) ut audacter substitueremus, haec illius verba ex oratione de permutatione § 173 seqq. nos moverunt: ὧν ἐνθυμουμένους χρὴ μηδενὸς πράγματος ἄνευ λόγου καταγιγνώσκειν μηδ' ὁμοίως διακεῖσθαι δικάζοντας ὥσπερ ἐν ταῖς ἰδίαις διατριβαῖς, ἀλλὰ διακριβοῦσθαι περὶ ἑκάστου καὶ τὴν ἀλήθειαν ζητεῖν, μεμνημένους τῶν ὅρκων καὶ τῶν νόμων καθ' οὓς συνεληλύθατε δικάσοντες· ἔστι δ' οὐ περὶ μικρῶν οὔθ' ὁ λόγος οὔθ' ἡ κρίσις ἐν ᾗ καθέσταμεν, ἀλλὰ περὶ τῶν μεγίστων· οὐ γὰρ περὶ ἐμοῦ μέλλετε μόνον τὴν ψῆφον διοίσειν, ἀλλὰ καὶ περὶ τοῦ ἐπιτηδεύματος ᾧ πολλοὶ τῶν νεωτέρων προσέχουσι τὸν νοῦν. οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τὰ πράγματα τῆς πόλεως τοῖς ἐπιγιγνομένοις καὶ τοῖς τηλικούτοις οἱ πρεσβύτεροι παραδιδόασι. τοιαύτης οὖν ἀεὶ τῆς περιόδου γιγνομένης ἀναγκαῖόν ἐστιν, ὅπως ἂν οἱ νεώτεροι παιδευθῶσιν, οὕτω τὴν πόλιν πράττουσαν διατελεῖν· ὥστ' οὐ ποιητέον τοὺς συκοφάντας κυρίους τηλικούτου πράγματος, οὐδὲ τοὺς μὲν μὴ διδόντας τούτοις ἀργύριον τιμωρητέον, παρ' ὧν δ' ἂν λάβωσιν ἐατέον ποιεῖν ὅ τι ἂν βουληθῶσιν, ἀλλ' εἰ μὲν ἡ φιλοσοφία τοιαύτην ἔχει δύναμιν ὥστε διαφθείρειν τοὺς νεωτέρους, οὐ τοῦτον χρὴ μόνον κολάζειν ὃν ἂν γράψηταί τις τούτων, ἀλλὰ πάντας ἐκποδῶν ποιεῖσθαι τοὺς περὶ τὴν διατριβὴν ταύτην ὄντας· εἰ δὲ τοὐναντίον πέφυκεν ὥστ' ὠφελεῖν καὶ βελτίους ποιεῖν τοὺς πλησιάζοντας καὶ πλέονος ἀξίους, τοὺς μὲν διαβεβλημένους πρὸς αὐτὴν παυστέον, τοὺς δὲ συκοφαντοῦντας ἀτιμητέον, τοῖς δὲ νεωτέροις συμβουλευτέον ἐν ταύτῃ διατρίβειν μᾶλλον ἢ τοῖς

*) Supra a, 2 A Σωκράτης male pro Ἰσοκράτης.

ἄλλοις ἐπιτηδεύμασιν. Hanc eandem ἀντίδοσιν infra III, 17 laudat; et quae fine Ethicorum Nicom. X, 10 de politica leguntur: τῶν δὲ σοφιστῶν οἱ ἐπαγγελλόμενοι λίαν φαίνονται πόρρω εἶναι τοῦ διδάξαι· ὅλως γὰρ οὐδὲ ποῖόν τί ἐστιν ἢ περὶ ποῖα ἴσασιν· οὐ γὰρ ἂν τὴν αὐτὴν τῇ ῥητορικῇ οὐδὲ χείρω ἐτίθεσαν, οὐδ' ἂν ᾤοντο ῥᾴδιον εἶναι τὸ νομοθετῆσαι συναγαγόντι τοὺς εὐδοκιμοῦντας τῶν νόμων· ἐκλέξασθαι γὰρ εἶναι τοὺς ἀρίστους, ὥσπερ οὐδὲ τὴν ἐκλογὴν οὖσαν συνέσεως καὶ τὸ κρῖναι ὀρθῶς μέγιστον, contra Isocratem, illa in Antidosi § 79 seqq. tradentem, dicta sunt. — Andocides de mysteriis § 103—105: εἰ οὖν ἐμοῦ καταψηφιεῖσθε, ὁρᾶτε μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσήκει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον, τοῦτο μὲν οὓς φεύγοντας κατηγάγετε, τοῦτο δὲ οὓς ἀτίμους ὄντας ἐπιτίμους ἐποιήσατε . . . εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ σφῶν αὐτῶν ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροί, πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα. ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι, οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις, ἀλλ' οἱ μὲν εἰσόμενοι εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ δὲ ἀποπειρώμενοι τῆς ὑμετέρας γνώμης, εἰ αὐτοῖς ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμετέρα δημοσίᾳ κρίνει, πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα. Demosthenes περὶ παραπρ. § 229—233: ὧν μηδέν, ὦ ἄνδρες Ἀθηναῖοι, πάθητε τήμερον, μηδ' ἀφῆτε τοῦτον ὃς ὑμᾶς τηλικαῦτα ἠδίκηκεν. καὶ γὰρ ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε; . . . καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἰδὼν τὸ παράδειγμα δίκαιον αὑτὸν παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν, εἰ

μήτε λαβεῖν μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ' ὑμῖν εἶναι δοκεῖν ὑπάρξει; ὥστε οὐ μόνον κρίνετε τούτους τήμερον, οὔ, ἀλλὰ καὶ νόμον τίθεσθε εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει ἢ προῖκα ὑπὲρ ὑμῶν τὰ βέλτιστα ἀδωροδοκήτως.

Posteriores alium locum finxerunt, Minucianus IX, 610: *ἀπὸ δὲ τοῦ ἐμπεριεχομένου· περιέχεται τῇ κλοπῇ τὸ ἐπιορκεῖν, τὸ* [scrib. *τῷ*] *ἀγγεῖλαι τὰ ψευδῆ τὸ Φωκέας ἀπολωλέναι, τὸ* [leg. *τῷ*] *κατατρίψαι τοὺς χρόνους τὸ Θρᾴκην προδεδόσθαι*, i. e. quod Aeschines in Atheniensium concione falsa retulit, deperditi sunt Phocenses; quod legati tres menses commorati sunt in Macedonia, Philippo Thracia prodita est. Rhet. Gr. V, 405: *τεσσαρεσκαιδέκατος ἐκ μεταλήψεως οἷον οὐ τὸ πεισθῆναι δεινὸν ἦν τῷ Ἀντιπάτρῳ, ἀλλ' ὅτι προσδεχόμεθα δουλείαν.*

11 *διδόναι γῆν καὶ ὕδωρ*] Vid. interpp. Herod. IV, 126.

12 *καὶ τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ποιεῖν τὸ προσταττόμενον*] Schol. gr.: *Φίλιππος κατηνάγκασε τοὺς Ἀθηναίους, ἵν' εἰρηνεύωσιν μετ' αὐτοῦ ὥσπερ καὶ αἱ ἄλλαι χῶραι, ὁ δὲ Δημοσθένης ἀντιπίπτων λέγει ὅτι τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ἤτοι τὸ εἰρηνεύειν μετὰ τοῦ Φιλίππου ἡμᾶς ὡς καὶ τοὺς λοιποὺς πάντας ἐστὶ τὸ ποιεῖν ὃ προστάττει ὁ Φίλιππος.* Unde Reiskius ind. Dem. s. v. *εἰρήνη* hoc notavit, sed non minus, quam alia, et hoc auctor finxit. Intelligitur foedus, *κοινὴ εἰρήνη* appellatum, quod Graeci exceptis Lacedaemoniis post Philippum occisum cum Alexandro Ol. CXI, 1 = 336 icerunt. Vid. oratio *περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν*, in qua ipsa haec verba *τῆς κοινῆς εἰρήνης μετέχειν* § 30 p. 220 leguntur. Conf. § 10. 11. 17. 20. Haec oratio Macedones pacem violasse et ex ipsis foederis legibus licere Athenienses Macedonibus arma inferre docet, sed quamvis ibi § 17 haec verba inveniantur: *εἰ δ' οὐκ ἀνιᾶσιν οἱ καθ' ὑμῶν τῷ Μακεδόνι ὑπηρέται προστάττοντες πράττειν τὰ ἐν ταῖς κοιναῖς ὁμολογίαις, πεισθῶμεν αὐτοῖς*, tamen non ea est oratio, quam Aristoteles h. l. intelligit.

14 *ἄλλος ἐκ τοῦ μὴ ταὐτὸ τοὺς αὐτοὺς ἀεὶ αἱρεῖσθαι*

ὕστερον ἢ πρότερον, ἀλλ' ἀνάπαλιν] Duodevicesimus locus, in Victorii libro: *ἐκ τοῦ ἄλλοτε ἄλλο αἱρεῖσθαι*. Rhet. Gr. V, 406: *εἰκοστὸς πρῶτος ὁ τοῖς διαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασι τὴν αἰτίαν τοῦ παραδόξως λέγειν παρέχων, οἷον ἄτοπον γὰρ εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα ὅπως μὴ μαχώμεθα*. Haec quoque ut alia iam vidimus, negligentissime excerpta sunt: plurimum enim distat praeceptum ab exemplo; hoc enim est nostri loci iisdem verbis redditum; locus ipse prorsus alienus, et infra ab Aristotele relatus vicesimus tertius; excidisse igitur inter haec quaedam dixeris, nisi numerus XXI locorum obstaret et hic ut alibi aperta esset negligentia; fortasse iam iis, unde haec excerpta sunt, error inerat.

τοὺς αὐτοὺς om. A, id explicandi causa additum videtur. Conf. Lysias XXXIV, 2. Isocr. Antid. § 199—203. Dinarch. in Dem. § 81—82. Plataeenses quondam Lacedaemoniorum, deinde Atheniensium strenui socii ap. Thuc. III, 56 de auxilio, quod illis tulerant Persarum bello: *ὧν ἡμεῖς γενόμενοι καὶ τιμηθέντες ἐς τὰ πρῶτα νῦν ἐπὶ τοῖς αὐτοῖς δέδιμεν μὴ διαφθαρῶμεν, Ἀθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως. καίτοι χρὴ ταὐτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας, καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς, ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς ἔχωσι καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται*. et paulo post: *δεινὸν δὲ δόξει εἶναι Πλάταιαν Λακεδαιμονίους πορθῆσαι, καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δι' ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνικοῦ πανοικησίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι*. Alcidam. *περὶ σοφιστῶν* p. 83 R. Andocid. III, 34. IV, 21: *αἴτιοι δ' ὑμεῖς οὐ τιμωρούμενοι τοὺς ὑβρίζοντας, καὶ τοὺς μὲν λάθρᾳ ἀδικοῦντας κολάζοντες, τοὺς δὲ φανερῶς ἀσελγαίνοντας θαυμάζοντες*. Dem. LI, 11.

15 *οἷον τόδε τὸ ἐνθύμημα, εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως κατέλθωμεν*] Ex Lysiae oratione, cuius partem Dionysius de Lysia cap. 32—33 servavit. Scripta erat haec oratio viro genere egregio et populi amanti, cum Athenienses e Piraeo in urbem armis rediissent, persuadere cupienti, ne

antiquam rempublicam, quod nonnulli conabantur, convelli atque immutari paterentur. p. 399 Bekk.: *δεινὸν γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ ὅτε μὲν ἐφεύγομεν, ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα, ἵνα μὴ μαχώμεθα.* Aegre caremus in Aristotele verbis *δεινὸν γὰρ ἂν εἴη* et mirum in scholiis ad Hermog., cuius auctor quisquis fuit non ex ipso Lysia hausit, legi *ἄτοπον γάρ*. Nisi de suo addidit, ea in Aristotelis vetusto libro invenisse credam. Sed verba quae rationem indicant, nullo modo recte conveniunt; unus Muretus aptum loco sensum reddit vertens: tunc enim pugnare volebant potius quam in patria non manere; nunc autem malunt non pugnare quam manere. Quae versio et hoc incommodum fugit, quod *ᾑροῦντο* non de utraque re sit intelligendum; alterum enim membrum non perfectam, sed futuram indicat rem. Sed nimium haec a graecis recedunt; poterat Aristoteles paucis hoc demonstrare: *ὁτὲ μὲν γὰρ τὸ μάχεσθαι ᾑροῦντο, ὁτὲ δὲ τὸ μὴ μάχεσθαι.* Nunc cum his notio *τοῦ μένειν*, quod contrarium verbo *φεύγειν*, inserta sit, ut sensus evadat, negatio transponenda est, vel simpliciter sic: *ὁτὲ μὲν γὰρ τὸ μένειν ἀντὶ τοῦ μὴ μάχεσθαι ᾑροῦντο, ὁτὲ δὲ τὸ μὴ μάχεσθαι ἀντὶ τοῦ μένειν*, vel etiam: *ὁτὲ μὲν γὰρ τὸ μὴ μένειν ἀντὶ τοῦ μάχεσθαι ᾑροῦντο, ὁτὲ δὲ τὸ μάχεσθαι ἀντὶ τοῦ μὴ μένειν.* In quibus *μὴ μένειν* idem quod *φεύγειν* est; imperfectum *ᾑροῦντο* non recte quidem dictum et melius esset *αἱροῦνται*, sed Aristoteles id quod futurum orator pronunciat, si pugnare negligunt, quasi iam factum fingere potest. Omnino melius hoc exemplum loco XXVI convenit: *ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις ἅμα σκοπεῖν.* — Aeschines 3, 195: *ἡγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φύλης Θρασύβουλος κατήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν.*

19 *ἄλλος τὸ οὗ ἕνεκ' ἂν εἴη ἢ γένοιτο, τούτου ἕνεκα φάναι εἶναι ἢ γεγενῆσθαι*] Locus undevicesimus, in Victorii libro notatus: *ἐκ τοῦ παρὰ τὸν σκοπὸν τοῦ λαβόντος συμβαίνειν.* Rhet. Gr. V, 406: *ἐννεακαιδέκατος ἐκ τοῦ οὗ ἕνεκα ἂν εἴη ἢ γένοιτο [οἷον] τούτου χάριν φάναι γεγονέναι, ὅτι ὁ Διομήδης προείλετο τὸν Ὀδυσσέα καὶ τὸν ἐκ

τοῦ Ὀδυσσέως. Postrema corrupta ex Aristotele explicanda; fortasse: *φάναι εἶναι ἢ γεγονέναι, οἷον ὅτι ὁ Δ. πρ. τὸν Ὀ. οὐ τιμῶν καὶ ἕνεκα τοῦ Ὀδυσσέως.* Aristotelis libri omnes *οὗ ἕνεκ' ἂν εἴη εἰ μὴ γένοιτο,* quam lectionem sensu flagitante mutavimus in *εἴη ἢ γένοιτο,* quod auctor schol. Rhet. Gr. l. l. in libro suo invenit, et gr. schol. legisse videtur: *οὗτινος ἕνεκα εἶναι ἤτοι διὸ δίδωμί σοι νομίσματα, ἢ γένοιτο ἤτοι δέδωκα.* Id ipsum nunc C apud Gaisf. praestat; verum vertit iam Muretus et probavit Vaterus p. 133. Sensus est, id quod *οὗ ἕνεκα* (Zweck) est, mutatur, et cum huic sit additum *εἶναι ἢ γεγενῆσθαι,* illi etiam utrumque addendum est, unde facilis et necessaria sequitur emendatio *ἢ γένοιτο.*

22 *πολλοῖς ὁ δαίμων*] Conf. Caesar de bello Gall. I, 14. Victorius.

25 *ἐκ τοῦ Μελεάγρου τοῦ Ἀντιφῶντος*] Conf. Meineke histor. comicor. p. 315, qui primus *κτάνωσι* in *κάνωσι* mutavit.

26 *κτάνωσι*] Melius *κάνωσι,* Gaisf. coniicit *οὐχ ὡς κτάνωσι.*

28 *ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα*] III, 15: *κοινὸν δὲ τῷ διαβάλλοντι καὶ τῷ ἀπολυομένῳ, ἐπειδὴ τὸ αὐτὸ ἐνδέχεται πλειόνων ἕνεκα πραχθῆναι, τῷ μὲν διαβάλλοντι κακοηθιστέον ἐπὶ τὸ χεῖρον ἐκλαμβάνοντι, τῷ δὲ ἀπολυομένῳ ἐπὶ τὸ βέλτιον, οἷον ὅτι ὁ Διομήδης τὸν Ὀδυσσέα προείλετο, τῷ μὲν ὅτι διὰ τὸ ἄριστον ὑπολαμβάνειν τὸν Ὀδυσσέα, τῷ δ' ὅτι οὔ, ἀλλὰ διὰ τὸ μόνον μὴ ἀνταγωνιστεῖν ὡς φαῦλον.* Delegit sibi Diomedes Ulixem in *Δολωνείᾳ* Il. X, 218—254. Hoc Theodectis Aiax de Achillis armis contendens adversus Ulixem protulit.

30 *ἄλλος κοινὸς καὶ τοῖς ἀμφισβητοῦσι καὶ τοῖς συμβουλεύουσι, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα*] Vicesimus locus; in Victorii libro *ἐκ τῶν προτρεπόντων ἢ ἀποτρεπόντων,* ubi item *καὶ* scribendum erat. At hic locus, ut ipse dicit Aristoteles, non omnibus est generibus communis, sed iudiciali et deliberativo.

33 *ταῦτα γάρ ἐστιν ἃ ἐὰν μὲν ὑπάρχῃ δεῖ πράττειν*] Contrarium, ut *μὲν* docet, intelligendum *ἐὰν δὴ μὲ ὑπάρχῃ,*

μὴ πράττειν. At haec ipsa supplet C et marg. Y; iure puto. Recepit Bekker³, quem secutus sum.

35 *ἢ βλαβερὸν ἐχθροῖς καὶ ἐπιζήμιον, ἢ ἐλάττων ἡ ζημία τοῦ πράγματος*] Congerit quae ad perficiendum exhortantur; sed recte offendit Victorius in vocabulo *ἐπιζήμιον*, quod et sine causa et contra morem cum *βλαβερὸν* coniunctum est, tum de alio hoc, de alio *ἡ ζημία* dicitur, quum tamen idem designetur, denique haec verba *ἢ ἐλάττων ἡ ζημία* nimis abrupte adduntur, non ut I, 12: *αὐτὸν μὲν οὖν (ἀδικοῦσιν), ὅταν οἴωνται δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ ἑαυτοῖς δυνατόν, εἴτε ἂν λαθεῖν πράξαντες ἢ μὴ λαθόντες μὴ δοῦναι δίκην, ἢ δοῦναι μὲν ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους ἑαυτοῖς ἢ ὧν κήδονται.* Itaque Victorius in editione negationem excidisse coniecit *καὶ μὴ ἐπιζήμιον*, sed idem in notis manuscriptis: *ἢ βλαβερὸν ἐχθροῖς, κἂν ἐπιζήμιον ᾖ, ἐλάττων*, quod inserto *εἰ* ante *ἐλάττων* verissimum puto. Conf. Brandis Philol. IV, 42.

37 *καὶ προτρέπονται δ' ἐκ τούτων καὶ ἀποτρέπονται ἐκ τῶν ἐναντίων*] Cur hoc loco homines qui moventur, non oratores qui suadent aut dissuadent, indicat? Puto et hic auctorem scripsisse *προτρέπουσι . . . ἀποτρέπουσι.* — Recepit Bekker³, quem secutus sum. *καὶ προτρέποντα δ' . . ἀποτρέποντα . .* corrigit Vahlen p. 567, quod non apte convenit.

pag. 1400 5 *ἄλλος ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι ἀπίστων δέ*] Vicesimus primus locus, in Victorii libro notatus: *ἐκ τῶν γενομένων, ἀπίστων δέ.*

10 *Ἀνδροκλῆς*] Ruhnken histor. crit. p. 43. Bergk ad Andocidem p. 117.

14 *ἄλλος ἐλεγκτικός, τὸ τὰ ἀνομολογούμενα σκοπεῖν*] Vicesimus secundus locus; in Victorii libro: *ὁ ἀπὸ τῶν ἀνομολογουμένων, ἐλεγκτικὸς δὲ οὗτος καὶ οὐκ ἀποδεικτικός.* Convenit cum hoc quod Apsines IX, 526 *ἐκ μάχης*, Minucianus p. 609 *ἀπὸ τοῦ μαχομένου* dicit; Cicero de orat. II, 170 ex consentaneis et praecurrentibus et repugnantibus, partit. orat. § 7 dissentanea et quasi pugnantia inter se.

17 *χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος*] Isocrat. adv. Callim. § 47: *ἄλλως τε καὶ τοὺς ὥσπερ Καλλίμαχος βεβιωκότας· ὃς δέκα μὲν ἔτη συνεχῶς ὑμῖν Λακεδαιμονίων*

πολεμησάντων οὐδεμίαν παρέσχεν αὐτὸν ἡμέραν τάξαι τοῖς στρατηγοῖς, ἀλλ' ἐκεῖνον μὲν τὸν χρόνον διετέλεσεν ἀποδιδράσκων καὶ τὴν οὐσίαν ἀποκρυπτόμενος, ἐπειδὴ δὲ οἱ τριάκοντα κατέστησαν, τηνικαῦτα κατέπλευσεν εἰς τὴν πόλιν. καὶ φησὶ μὲν εἶναι δημοτικός, τοσούτῳ δὲ μᾶλλον τῶν ἄλλων ἐπιθυμεῖ μετασχεῖν ἐκείνης τῆς πολιτείας, ὥστ' οὐδ' εἰ κακῶς ἔπαθεν ἠξίωσεν ἀπελθεῖν, ἀλλ' ᾑρεῖτο μετὰ τῶν ἡμαρτηκότων εἰς αὐτὸν πολιορκεῖσθαι μᾶλλον ἢ μεθ' ὑμῶν τῶν συνηδικημένων πολιτεύεσθαι.

Haec verba *χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος* in libris supra post *σκοπεῖν* posita leguntur, verum ordinem Morelius tacite restituit.

18 *χωρὶς δ' ἐπ' αὐτοῦ, καὶ φησὶ μὲν εἶναί με φιλόδικον, οὐχ ἔχει δὲ ἀποδεῖξαι δεδικασμένον οὐδεμίαν δίκην*] Nescio unde haustum, conf. Isocr. Antid. § 144. Lysias XX, 5: *καὶ κατηγοροῦσι μὲν αὐτοῦ ὡς πολλὰς ἀρχὰς ἦρξεν, ἀποδεῖξαι δὲ οὐδεὶς οἷός τέ ἐστιν ὡς οὐ καλῶς ἦρξεν.* XII, 38—40.

22 *ἄλλος τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασιν, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου*] Locus vicesimus tertius: in Victorii libro: *ὁ ἀπὸ τοῦ λεγομένης τῆς αἰτίας λύεσθαι τὴν διαβολήν.* Rhet. Gr. V, 406: *εἰκοστὸς πρῶτος ὁ τοῖς διαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασι τὴν αἰτίαν τοῦ παραδόξως λέγειν παρέχων.* Vid. supra ad loc. XVIII. Huius auctor in Aristotelis libro non *προδιαβ.*, quod in A est, legisse, *ἢ δοκοῦσι* brevitatis causa omisisse videtur. *πράγμασι μὴ δοκοῦσι*, quod Victorius ex A edidit, sensus refutat, simul si probum esset, *δὲ* erat addendum; intellige *διαβεβλῆσθαι*, atque hoc ipsum fere facit, ut non *προδιαβεβλημένοις*, sed *διαβεβλημένοις* quod ceteri codices exhibent, praeferamus. Conf. Vaterus p. 134. Dativus, ne mendum inesse putes, ex *ἄλλος* dependet. Muretus verba *τοῖς προδ. . . δοκοῦσι* omittit.

25 *ὑποβεβλημένης τινὸς τὸν*] Sic A, ut disertim Victorius enotavit et ap. Gaisf. apparet, *διαβεβλημένης τινὸς πρὸς τὸν* ceteri omnes; contrarium male tradit Bekkerus.

28 *διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ*] Fortasse, ut Muretus dicit, quia cauti ac prudentes audacibus ti-

midi et ignavi videntur. Haec cum superioribus ex Theodectis Aiace collata hunc poetam ut Euripidem orationes in utramque partem disputatas fabulis inseruisse ostendunt.

29 *ἄλλος ἀπὸ τοῦ αἰτίου*] Locus vicesimus quartus, in Victorii libro: *ὁ ἀπὸ τοῦ αἰτίου καὶ αἰτιατοῦ.* Rhet. Gr. V, 404: *τέταρτος ἐκ τῶν αἰτίων καὶ τῶν ποιητικῶν καὶ γενέσεων καὶ φθορῶν οἷον εἰ ἀγαθὸν καὶ καλὸν ἡ φιλανθρωπία, καὶ τὸ ἐκ ταύτης γενόμενον.* Minucianus IX, 606. Ciceroni de oratore II, 171 est ex causis rerum, part. orat. § 7.

Eodem argumento quo Leodamas Lysias utitur, ut quos Agoratus XXX viris detulisset, de republica bene meritos esse viros ostenderet, XIII, 51: *οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τὸν Ἀθηναίων εἰργάσαντο, οἱ τριάκοντα δεδιότες μὴ καταλυθείη ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν, ἀλλ' οἶμαι πολὺ τοὐναντίον τοῦτον.* Conf. § 75. XVI, 11, 5. XXV, 14, item docet nullam rem cum XXX viris fuisse.

33 *ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει, ἀλλ' ἐκκόψαι ἐπὶ τῶν τριάκοντα*] Saepe hoc factum; vid. Boeckhii Corp. Inscr. I p. 144. Thucyd. I, 132. VI, 54. orat. in Neaeram p. 1378. Scriptores hist. Aug. p. 161. 171. 243 Casaub. Negavit Leodamas *τὸ οὖ αἴτιον*, hoc est, *οὐ πιστεύειν αὐτῷ τοὺς τριάκοντα*, unde et *τὸ αἴτιον* abesse sequebatur, *ὅτι ἦν στηλίτης γεγονώς*, vel ut ipse acute dicit, *ἐγγεγραμμένη ἡ ἔχθρα πρὸς τὸν δῆμον.*

36 *ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν*] Locus vicesimus quintus, in Victorii libro: *ὅτι οὐκ ἐνδέχεται βέλτιόν τι γενέσθαι.* Hoc posteriores rhetores et oratores in probabili generis iudicialis excusserunt.

Egregium exemplum, quod rem explanet, dedit Demosth. in Aristocrat. § 110—115 p. 657., quod diligenter excutiendum est.

38 *φανερὸν γὰρ ὅτι, εἰ μὴ οὕτως ἔχει, οὐ πέπραχεν*] Negatio sensum corrumpit; itaque neque Georgius Trapezuntius neque Muretus vertit, et in marg. Isingr. notatum: *εἰ οὕτως ἔχει.* Frustra eam defendit Vaterus p. 134 vertens: si

id quod facit aut suadet, non est illud *βέλτιον*. Semper enim repetendum ex praecedente *ἐνδέχεσθαι βέλτιον ἄλλως*. Fortasse *εἰ μὲν οὕτως ἔχει*.

4 *ἄλλος, ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πε-* pag. 1400 b
πραγμένοις, ἅμα σκοπεῖν] Locus vicesimus sextus, in Victorii libro: *ὁ ἀπὸ τοῦ ἐναντίου τοῖς πεπραγμένοις*. Vid. ad locum XVIII huic non dissimilem. Sophist. elench. cap. 15: *ἔτι καθάπερ ἐν τοῖς ῥητορικοῖς, καὶ ἐν τοῖς ἐλεγκτικοῖς ὁμοίως τὰ ἐναντιώματα θεωρητέον ἢ πρὸς τὰ ὑφ᾽ αὑτοῦ λεγόμενα ἢ πρὸς οὓς ὁμολογεῖ καλῶς λέγειν ἢ πράττειν, ἔτι πρὸς τοὺς δοκοῦντας τοιούτους ἢ πρὸς τοὺς ὁμοίους ἢ πρὸς τοὺς πλείστους ἢ πρὸς τοὺς πάντας.*

5 *οἷον Ξενοφάνης Ἐλεάταις*] Aegyptiis Plutarchus et Clemens. Alex. dicunt, vid. Wyttenb. ad Plut. p. 171 E. Winckelm. ad Erotic. p. 207. Lobeck. Aglaoph. p. 167.

8 *ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι*] Locus vicesimus septimus, in Victorii libro: *ὁ ἀπὸ τῆς ἀπολογίας τῶν ἁμαρτηθέντων*. Rhet. Gr. V, 406: *ὀκτωκαιδέκατος ἐκ τῶν ἁμαρτανομένων καὶ κατηγοροῦντι καὶ ἀπολογουμένῳ οἷον κατηγοροῦσι Μηδείας ὡς* [add. *τοὺς παῖδας*] *ἀπέκτεινεν· ἥμαρτε γὰρ περὶ τὴν ἀποστολήν· ἀπολογεῖται δὲ ὅτι οὐ καὶ τὸν Ἰάσονα· τοῦτο γὰρ ἡμάρτανε* [scrib. *ἥμαρτεν ἂν*] *μὴ ποιήσασα*. Totus hic locus alienus est; pertinet enim ad iudiciale genus, non ad demonstrativum atque deliberativum. In verbis nota contra concinnitatem additum esse vocabulum *τόπος*, ut II, 24 *ἄλλος δὲ τόπος*, fortasse etiam articulum *τό*, tum corrigendum *κατηγορεῖν καὶ ἀπολογεῖσθαι*, quod et auctor Rhet. Gr. invenit; utrumque enim est: *οἱ μὲν κατηγοροῦσιν .. ἡ δ᾽ ἀπολογεῖται*. Medea cur filios interfecerit, vid. Eurip. v. 773—792. 987—1048. 1205—1217. 1312—1317. 1337. 1365 Elmsl.; argumenta Medeae defendendae in quibus et nostrum vide ap. Theonem p. 218, quem exscripsit Doxopater Rhet. Gr. II, 330.

15 *ἔστι δ᾽ ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη*] Num est prior ars Theodori Byzantii *λογοδαιδάλου* intelligenda, ut plerique libri *προτέρα* exhibent, quam posterior secuta est, an est *ἡ πρότερον* (sic A exhibet) ars, quae ante Theodorum usitata erat,

ἢ πρὸ Θεοδώρου, quamque ille primus auxit atque mutavit? Nam quae in Platonis Phaedro ex Corace et Tisia afferuntur exempla, huius sane sunt generis.

16 ἄλλος ἀπὸ τοῦ ὀνόματος] Duodetricesimus locus et postremus; in Victorii libro: ὁ ἀπὸ τῆς φερωνυμίας. Rhet. Gr. V, 406: εἰκοστὸς ἐκ τοῦ ὀνόματος, οἷον ὅτι οὐκ ἄν ποτε Ἱππονίκην ἔθετο ὁ τοῦ Ἑρμοῦ ὢν ἱερεὺς Ἑρμογένης μὴ ὄντος υἱοῦ. καὶ ὡς Ἰφικράτης· ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν εὐπατριδῶν ὢν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιόν ἐστι γνῶναι. Prius exemplum corruptum. Cicero de orat. II, 165 ex vocabulo, Quintilianus V, 10 p. 405. 412 seqq. Tragicis et in primis Euripidi solemne ἐτυμολογεῖν, vid. Valcken. ad Phoen. v. 27 et 639. Elmsl. ad Bacch. v. 508. In altero exemplo scrib. ὡς Ἰσοκράτης. Isocr. de bigis § 25: ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν Εὐπατριδῶν, ὢν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιον γνῶναι.

16 οἷον ὡς ὁ Σοφοκλῆς] Fragm. I ex Tyrone. Lob. ad Aiac. v. 430.

19 καὶ Ἡρόδικος Θρασύμαχον] Selymbrianus ut videtur, vid. Heind. ad Plat. Protag. p. 489. Mitioris sophistae obiurgatio est in vehementiorem, quae valde Prodico conveniet. Vid. Artium script. p. 94. Welcker Prodikos von Keos Rhein. Museum I p. 563. Kayser ad Philostr. soph. p. 214. 393. Herodicum dicit et Theophil. in Fabr. Bibl. gr. XIII, 715, ubi male χαλεπὸν γὰρ excusum est.

20 καὶ Πῶλον ἀεὶ σὺ πῶλος εἶ] Alludit fortasse Platonis Socrates in Gorg. p. 38 (463): Πῶλος δὲ ὅδὶ νέος ἐστὶ καὶ ὀξύς.

21 οὐκ ἂν ἀνθρώπου] Operarum errore excidit ἂν in Bekkeri editione.

22 καὶ ὡς ἡ Εὐριπίδου Ἑκάβη εἰς τὴν Ἀφροδίτην] Eurip. Troad. 1000 ed. Seidl.:

τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς,
καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.

Eustathius ad Il. III, 64 p. 414: ὡς δὲ καὶ ζωογόνος ὁ ἀλληγορικὸς Ζεύς, δηλοῖ Ἀριστοτέλης ἐν τῇ αὐτοῦ ῥητορικῇ λέγων ὅτι Ἀφροδίτη ὡς ἄρχουσα ἀφροσύνης καὶ

Ζεὺς ὡς ζωῆς αἴτιος ὤν. Ipse hoc in Aristotelis libris non invenit, et si vetustiorum auctoritatem secutus servavit, horum magis errorem quam excidisse quaedam puto; aptum tamen hoc est exemplum *ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν*, et notandum idem Iovis exemplum ab schol. h. l. fol. 47, 5 afferri: *ἢ ὅτι καλῶς ὠνομάσθη ὁ Ζεύς, ὡς χορηγὸς τῆς ζωῆς.* Conf. Krische Forschungen I, 399. Aus den Hercul. Rollen p. 8. Est vero Orphicorum, Platonis, Chrysippi etymologia, nec eam Aristoteles abnuerit.

24 *καὶ ὡς Χαιρήμων Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος*] Ut Elmsleio videtur, in fabula Dionyso, quem vid. ad Eurip. Bacch. v. 508, ubi similes Euripidis loci notantur.

26 *εὐδοκιμεῖ δὲ μᾶλλον τῶν ἐνθυμημάτων τὰ ἐλεγκτικὰ τῶν ἀποδεικτικῶν*] III, 9 ubi de oppositis loquitur: *ἡδεῖα δ' ἐστὶν ἡ τοιαύτη λέξις ὅτι τἀναντία γνωριμώτατα καὶ παράλληλα μᾶλλον γνώριμα καὶ ὅτι ἔοικε συλλογισμῷ· ὁ γὰρ ἔλεγχος συναγωγὴ τῶν ἀντικειμένων ἐστίν.* III, 2: *εἰ δὲ μή, ἀπρεπὲς φανεῖται διὰ τὸ παράλληλα τὰ ἐναντία μάλιστα φαίνεσθαι.* III, 17: *τῶν δὲ ἐνθυμημάτων τὰ ἐλεγκτικὰ μᾶλλον εὐδοκιμεῖ τῶν δεικτικῶν, ὅτι ὅσα ἔλεγχον ποιεῖ, μᾶλλον δῆλον ὅτι συλλελόγισται· παράλληλα γὰρ μᾶλλον τἀναντία γνωρίζεται.* Ex Aristotele sumptum axioma: contraria iuxta posita magis elucescunt.

30 *θορυβεῖται μάλιστα τὰ τοιαῦτα*] III, 10: *διὸ οὔτε τὰ ἐπιπόλαια τῶν ἐνθυμημάτων εὐδοκιμεῖ (ἐπιπόλαια γὰρ λέγομεν τὰ παντὶ δῆλα καὶ ἃ μηδὲν δεῖ ζητῆσαι) οὔτε ὅσα εἰρημένα ἀγνοούμενά ἐστιν, ἀλλ' ὅσων ἢ ἅμα λεγομένων ἡ γνῶσις γίνεται καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν ὑστερίζει ἡ διάνοια· γίγνεται γὰρ οἷον μάθησις.* II, 21 p. 1394 b, 7—16.

31 *ἀρχόμενα*] Sic vet. tr. et inde Veneta, Victorii cod. p. et fort. BD ap. Gaisford., *ἀρχόμενοι* ceteri.

Cap. XXIV.

38 *τόποι δ' εἰσὶ τῶν φαινομένων ἐνθυμημάτων εἷς μὲν ὁ παρὰ τὴν λέξιν*] De vitiosis argumentationibus vid. auct. ad Herennium II, 20, 31—46. Cicero de invent. I, 47

—50. Iulius Victor cap. 12. Cum hos locos componeret, librum de sophisticis elenchis, in quo eadem res pluribus accurate discutitur, nondum elaborasse videtur; neque enim huius mentio fit, quae si exstitisset, non deesset et multa discrepant, v. c. hic locum *παρὰ τὴν λέξιν* dividit in *παρὰ τὸ σχῆμα τῆς λέξεως* et *παρὰ τὴν ὁμωνυμίαν*, at ibi ubi omnia aut *παρὰ τὴν λέξιν* aut *ἔξω τῆς λέξεως* fiunt, priora sunt cap. 4 seqq. *ὁμωνυμία, ἀμφιβολία, σύνθεσις, διαίρεσις, προσῳδία, σχῆμα λέξεως*, posteriora *παρὰ τὸ συμβεβηκός, ἁπλῶς ἢ μὴ ἁπλῶς, παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν, παρὰ τὸ ἑπόμενον, παρὰ τὸ ἐν ἀρχῇ λαμβάνειν, παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέναι, παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν.* E quibus si dialecticis propria et a rhetorica aliena recidas, *διαίρεσιν* et *σύνθεσιν* ad *τὸ παρὰ τὴν λέξιν* relatam, hic vero exclusam vides. Alia ibi nec ea, quae hic leguntur, continet *τὸ παρὰ τὸ σχῆμα τῆς λέξεως*, e quibus illud: *τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν, οὐκ ἄρα τὸ καὶ τό, ἀνάγκη ἄρα τὸ καὶ τό*; inter sophistarum *κρύψεις* in interrogando cap. 15 latet: *σφόδρα δὲ καὶ πολλάκις δοκεῖν ἐληλέγχθαι ποιεῖ τὸ μάλιστα σοφιστικὸν συκοφάντημα τῶν ἐρωτώντων τὸ μηδὲν συλλογισαμένους μὴ ἐρώτημα ποιεῖν τὸ τελευταῖον, ἀλλὰ συμπεραστικῶς εἰπεῖν ὡς συλλελογισμένους, οὐκ ἄρα τὸ καὶ τό.* Quia particula *ἄρα* utimur, ad locum *παρὰ τὴν λέξιν* retulit quae eodem iure ad *παρὰ τὴν ἔλλειψιν* reducas. In sophisticis elenchis diligenter descripta sunt quae ad *παρὰ τὸ σχῆμα τῆς λέξεως* attinent nec dubius ibi loquitur ut h. l.: *καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς λέξεως.*

pag. 1401 5 *συνεστραμμένον*] A, *συνεστραμμένως* celeri; Vahlen *καὶ ἐν τοῖς ἐνθυμήμασι.* Praepositionem iam Veneta *ἐν γὰρ τοῖς* scribens exhibet; postremum *καὶ τὸ* male repetitum videtur, Muretus simul verba *τοῖς ἐνθυμήμασι* omisit. Etiamsi *οὕτω κἀν τοῖς ἐνθυμήμασι* scripseris, praeter morem id dictum est; exspectamus enim *κἀν τοῖς ῥητορικοῖς* ut p. 1402, 7.

8 *ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν*] Frequentationem dicit oratoribus solemnem; non falli autem arbitror

qui exemplum ab Aristotele brevibus indicatum, ex Isocrat. Euagor. § 65—69, quae ipsa est *ἀνακεφαλαίωσις*, sumptum esse credam.

12 *ἓν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, ὡς τὸ φάναι σπουδαῖον εἶναι μῦν*] Ex Polycratis laudatione murium, ex qua aliud infra exemplum legitur; conf. *συναγωγὴ τεχνῶν* p. 75.

13 *ὡς τὸ φάναι*] *ὡς* om. A, vet. tr., quod ex usu additum est.

16 *συμπαραλαμβάνει*] Optativum ex A, vet. tr. dedimus, *συμπεριλαμβάνει* B p v.

16 *ὅτι Πίνδαρος ἔφησεν*] Fragm. 66 p. 594, ubi vid. Boeckh., conf. Wolf. ap. Vaterum p. 207. Animi causa addere libet quae Stephanus p. 295 tradit: *τὸ δὲ τοῦ Πινδάρου ᾆσμα οἱ μὲν εἰς τὸν Πᾶνα ἐκδεδώκασι κυνοειδῆ θεὸν ὄντα ὡς ἔφησαν, παντοδαπὸν δὲ εἶπον ὡς συμμιγέντων πάντων τῶν θεῶν τῇ Ῥέᾳ ἢ τῇ Ἥρᾳ, καὶ γεννηθέντος οὕτω τερατώδους τοῦ Πανός . . τινὰ δὲ τῶν βιβλίων κοινὸν μίγμα καλέουσιν ἔχουσι. τότε γὰρ εἰ οὕτω γράφεται τὸν Πᾶνα νόησον.* Nullum huius interpolationis vestigium in nostris apparet codicibus. Sed Z ap. Bekk. non *κύνα*, sed *κοινὰ* exhibet, quod schol. fol. 47 b, 22 interpretatur: *κοινὰ ἀντὶ τοῦ κοινῶς . . τινὰ δὲ τῶν βιβλίων ἔχουσι καὶ κυνα διὰ τοῦ υ ψιλοῦ, ἔστι δὲ καὶ ὡς παρήχησις κύνα, κοινά.*

18 *ἢ ὅτι τὸ μηδένα εἶναι κύν' ἀτιμότατόν ἐστιν, ὥστε τὸν κύνα δῆλον ὅτι τίμιον*] Ne canem quidem in domo ali sordidum est. Ergo canem esse honorificum est. Aequivocatio autem est in his coniunctis vocibus: canem esse, quod vel canem in domo esse vel Cynicum esse significare potest. Cynici enim philosophi canes appellabantur, qui hac fallacia cognomen istud suum ornare poterant. Schrader.

21 *κοινὸς Ἑρμῆς*] Astius ad Theophr. p. 257.

22 *καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον*] Diodorus Siculus I, 2: *συμβάλλεται δὲ αὕτη (ἡ τῆς ἱστορίας δύναμις) καὶ πρὸς λόγου δύναμιν, οὗ κάλλιον ἕτερον οὐκ ἄν τις ῥᾳδίως εὕροι. τούτῳ γὰρ οἱ μὲν Ἕλληνες τῶν βαρβάρων, οἱ δὲ πεπαιδευμένοι τῶν ἀπαιδεύτων προέχουσι, πρὸς δὲ τούτοις διὰ μόνου τούτου δυνατόν ἐστιν ἕνα τῶν*

πολλῶν περιγενέσθαι, καθόλου δὲ φαίνεται πᾶν τὸ προτεθὲν τοιοῦτον ὁποῖον ἂν ἡ τοῦ λέγοντος δύναμις παραστήσῃ· καὶ τοὺς ἀγαθοὺς ἄνδρας ἀξίους λόγου προσαγορεύομεν ὡς τούτους τὸ πρωτεῖον τῆς ἀρετῆς περιπεποιημένους. An Diodorus auctorem secutus est, quem Aristoteles carpit? Conf. praefat. ad Anaxim. rhetor. Isocrat. Paneg. § 47, qui *κάλλος* laudans similiter ludit Helen. 54: *εὑρήσομεν . . καὶ τὴν ἀρετὴν διὰ τοῦτο μάλιστ' εὐδοκιμοῦσαν, ὅτι κάλλιστον τῶν ἐπιτηδευμάτων ἐστίν.*

24 *ἄλλος τὸ διῃρημένον συντιθέντα λέγειν ἢ τὸ συγκείμενον διαιροῦντα*] Secundus locus, *παρὰ διαίρεσιν καὶ σύνθεσιν*, in Soph. elenchis cap. 4, ut supra monuimus, ad *παρὰ τὴν λέξιν* relatus. — *τὸ τὸ διῃρημένον* Bonitz I, 89.

26 *ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος*] In Platonis Euthydemo haec exempla non leguntur, conf. Winckelm. Prolegg. p. XXVII. Plura in Soph. el. cap. 20: *καὶ ὁ Εὐθυδήμου λόγος· ἆρα οἶδας σὺ νῦν οὔσας ἐν Πειραιεῖ τριήρεις ἐν Σικελίᾳ ὤν;* Haec integra est captatio sophistica brevissime in nostro loco notata, ex his veris sententiis consistens coniunctis: *ἆρα οἶδας σὺ νῦν ἐν Πειραιεῖ ὤν;* et *ἆρα οἶδας σὺ νῦν οὔσας τριήρεις ἐν Σικελίᾳ;*

27 *ἐν Πειραιεῖ*] A, quod apud Gaisf. adnotatum est, *ἐμπειραεῖ*, quod in titulis exstat, et veteres codices raro servarunt, v. c. *Σ* in Demosth. Leptin. § 11 p. 460., eaque pronuntiatione Graeci etiam nunc utuntur.

33 *πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσεν· συντίθησι γάρ*] Omnes trigintaviros coniungit, quos si verum esset disiungere et singulos a Thrasybulo sublatos esse docere debebat; error est *παρὰ τὴν σύνθεσιν.* Fortasse ex eodem Polycrate est quod apud Quintil. III, 6, 26: *numerum qui cadit in speciem quantitatis, an Thrasybulo triginta praemia debeantur, quia tot tyrannos sustulerit?* quae graece leguntur in Rhet. Gr. V p. 342.

35 *ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστιν*] Vid. supra ad II, 23. Error est praecedenti contrarius *παρὰ τὴν διαίρεσιν. ἥτις* Gaisf. ex D recepit; idem attulit, quae Ios. Scaliger exempli sui margini adscripserat:

δίκαιόν ἐστιν, ἥτις ἂν κτείνῃ πόσιν,
θανεῖν μιν, ἢ τὸν παῖδα τιμωρεῖν πατρί.

At Orestes utrumque coniunxit dicens iustum esse, quae maritum occiderit, interfici, itemque iustum esse patri filium auxilium ferre eiusque mortem ulcissi, quare poetam potius scripsisse coniicias alterum versum:

ταύτην θανεῖν, καὶ παῖδα τιμωρεῖν πατρί.

Sed hae sunt iuveniles et ineptae nugae, quas sanae mentis philologi vitent.

1 *οὐκοῦν καὶ ταῦτα καὶ πέπρακται*] Sic libri; prius *καὶ* recte iam Aldus omiserat, alterum ceteri editores cum Veneta. Inepte Vahlen: *οὐκοῦν καὶ ταῦτα δίκαι' ἃ πέπρακται.* pag. 1401 b

2 *ἀφαιρεῖ*] A, *aufert* vet. tr., *ἀφαιρεῖται* ceteri.

3 *ἄλλος δὲ τόπος τὸ δεινώσει κατασκευάζειν ἢ ἀνασκευάζειν*] Tertius locus; verbis *δὲ τόπος* facile caremus. Hanc non sedem esse argumenti, infra II, 26 probatur. Auct. ad Herenn. II, 29, 46: *item vitiosum est, id augere, quod convenit doceri, hoc modo: ut si quis quem arguat, hominem occidisse, et antequam satis idoneas argumentationes attulerit, augeat peccatum et dicat, nihil indignius esse quam hominem occidere; non enim utrum indignum sit an non, sed factumne sit, quaeritur.* Isocrates Antidos. § 89—92: *καίτοι πότερα χρὴ πιστεύειν ὑμᾶς τοῖς σαφῶς ἐπισταμένοις καὶ τοὺς λόγους καὶ τὸν τρόπον τὸν ἐμόν, ἢ τῷ μηδὲν μὲν εἰδότι τῶν ἐμῶν, προῃρημένῳ δὲ συκοφαντεῖν; ὃς εἰς τοσοῦτο πονηρίας καὶ τόλμης ἐλήλυθεν, ὥστε γραψάμενος ὡς λόγους διδάσκω δι' ὧν πλεονεκτήσουσι παρὰ τὸ δίκαιον ἀπόδειξιν μὲν οὐδεμίαν τούτων ἤνεγκε, λέγων δὲ διατετέλεκεν ὡς δεινόν ἐστι διαφθείρασθαι τοὺς τηλικούτους, ὥσπερ ἀντιλέγοντός τινος περὶ τούτων, ἢ τοῦτο δέον αὐτὸν ἀποφαίνειν ὃ πάντες ὁμολογοῦσιν, ἀλλ' οὐκ ἐκεῖνο μόνον διδάσκειν ὡς ἐγὼ τυγχάνω ταῦτα διαπραττόμενος. καὶ εἰ μέν τις τοῦτον ἀπαγαγὼν ἀνδραποδιστὴν καὶ κλέπτην καὶ λωποδύτην μηδὲν μὲν αὐτὸν ἀποφαίνοι τούτων ἀπειργασμένον, διεξίοι δ' ὡς δεινὸν ἕκαστόν ἐστι τῶν κακουργημάτων, ληρεῖν ἂν φαίη καὶ μαίνεσθαι τὸν κατήγορον, αὐτὸς δὲ τοιούτοις λόγοις κεχρημένος οἴεται λανθάνειν ὑμᾶς. ἐγὼ δ' ἡγοῦμαι τοῦτό γε καὶ τοὺς ἀμαθε-*

στάτους γιγνώσκειν, ὅτι δεῖ πιστὰς εἶναι καὶ μέγα δυναμένας τῶν κατηγοριῶν οὐχ αἷς ἔξεστι χρήσασθαι καὶ περὶ τῶν μηδὲν ἠδικηκότων, ἀλλ' ἃς οὐχ οἷόν τ' εἰπεῖν ἀλλ' ἢ κατὰ τῶν ἡμαρτηκότων· ὧν αὐτὸς ὀλιγωρήσας οὐδὲν προσήκοντας τῇ γραφῇ λόγους εἴρηκεν. ἔδει γὰρ αὐτὸν καὶ τοὺς λόγους δεικνύναι τοὺς ἐμούς, οἷς διαφθείρω τοὺς συνόντας καὶ τοὺς μαθητὰς φράζειν τοὺς χείρους διὰ τὴν συνουσίαν τὴν ἐμὴν γεγενημένους· νῦν δὲ τούτων μὲν οὐδέτερον πεποίηκε, παραλιπὼν δὲ τὴν δικαιοτάτην τῶν κατηγοριῶν ἐξαπατᾶν ὑμᾶς ἐπεχείρησεν. Advers. Callimachum § 40: ἐὰν δ' ἄρα μεμνῆται τῶν ἐπὶ τῆς ὀλιγαρχίας γεγενημένων, ἀξιοῦτε αὐτὸν μὴ ἐκείνων κατηγορεῖν ὑπὲρ ὧν οὐδεὶς ἀπολογήσεται, ἀλλ' ὡς ἐγὼ τὰ χρήματα εἴληφα διδάσκειν, περὶ οὗπερ ὑμᾶς δεῖ ψηφίζεσθαι, μηδ' ὡς αὐτὸς δεινὰ πέπονθεν ἀποφαίνειν, ἀλλ' ὡς ἐγὼ πεποίηκα ἐξελέγχειν, παρ' οὗπερ ἀξιοῖ τὰ ἀπολωλότα κομίζεσθαι· ἐπεὶ κακῶς γε αὐτὸν πράττοντα ἐπιδεῖξαι καὶ πρὸς ἄλλον ὁντινοῦν ἀγωνιζόμενος τῶν πολιτῶν δύναται. καίτοι χρὴ μέγα παρ' ὑμῖν δύνασθαι τῶν κατηγοριῶν οὐχ αἷς ἔξεστι χρῆσθαι καὶ πρὸς τοὺς μηδὲν ἡμαρτηκότας, ἀλλ' ἃς οὐχ οἷόν τ' εἰπεῖν ἀλλ' ἢ κατὰ τῶν ἠδικηκότων. Andocides περὶ τῶν μυστηρίων § 29—33: περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν ἕνεκα ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, ἀποδέδεικταί μοι ὡς οὔτε ἠσέβηκα οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔθ' ὡμολόγηκα περὶ αὐτῶν, οὐδ' ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε μεῖζον οὔτ' ἔλαττον οὐδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι· καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον καὶ λόγους εἶπον ὡς πρότερον ἑτέρων ἁμαρτόντων καὶ ἀσεβησάντων περὶ τὼ θεώ, οἷα ἕκαστος αὐτῶν ἔπαθε καὶ ἐτιμωρήθη. τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων κατηγορῶ, καὶ δι' αὐτὸ τοῦτο φημὶ δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σώζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. ἢ δεινόν γ' ἂν εἴη εἰ ἐμοὶ ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν εἰδότες ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας ἡγήσεσθε. δῆλον ὅτι γὰρ τοῖς

μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν ἀπολογία ὡς οὐκ ἐποίησαν· ἡ γὰρ βάσανος δεινὴ παρὰ τοῖς εἰδόσιν· ἐμοὶ δ' ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτούμενον σωθῆναι ἐπὶ τοιαύτῃ αἰτίᾳ, ἀλλ' ἐλέγχοντα τοὺς τῶν κατηγόρων λόγους, et quae alia de eadem re plura sequuntur. Antipho V, 10: *φασὶ δὲ αὖ τό τε ἀποκτείνειν μέγα κακούργημα εἶναι, καὶ ἐγὼ ὁμολογῶ μέγιστόν γε, καὶ τὸ ἱεροσυλεῖν καὶ τὸ προδιδόναι τὴν πόλιν· ἀλλὰ χωρὶς περὶ αὐτῶν ἑκάστου οἱ νόμοι κεῖνται.* Lysias XXV, 2—6.

5 *ὅτι ἐποίησεν*] Id de accusatore valet, debet vero et is qui causam dicit comprehendi, unde integre reddendum erit *ὅτι ἐποίησεν ἢ οὐκ ἐποίησεν*, aut quod malim, statim enim sequitur haec expositio, illo quoque omisso *ὅταν μὴ δείξας αὐξήσῃ τὸ πρᾶγμα*, tum vero recte C *οὐ πεποίηκεν* pro *οὔτε*, pro *ὀργίζηται* vero A *ὄρσῃι*, in quo Victorius *ὀργίσῃ* non male suspicatur.

9 *ἄλλος τὸ ἐκ σημείου*] Quartus locus; in sophisticis elenchis cap. 5 argumenta *ἐκ σημείου* sumpta iure ad locum *παρὰ τὸ ἑπόμενον* referuntur: *ἐν δὲ τοῖς ῥητορικοῖς αἱ κατὰ τὸ σημεῖον ἀποδείξεις ἐκ τῶν ἑπομένων εἰσί, βουλόμενοι γὰρ δεῖξαι ὅτι μοιχός, τὸ ἑπόμενον ἔλαβον ὅτι καλλωπιστὴς ἢ ὅτι νύκτωρ ὁρᾶται πλανώμενος. πολλοῖς δὲ ταῦτα μὲν ὑπάρχει, τὸ δὲ κατηγορούμενον οὐχ ὑπάρχει.* Haec si antequam hoc Rhetoricorum caput conscripsit, dixisset, male hic disiunxisset; nunc se ipse corrigit et quae vulgo *ἐκ σημείου* dicuntur, ad *παρὰ τὸ ἑπόμενον* pertinere docet.

10 *ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες*] Pausaniam in Platonis Convivio p. 388 (182) intelligit haec dicentem: *οὐ γὰρ οἶμαι συμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεσθαι τῶν ἀρχομένων, οὐδὲ φιλίας ἰσχυρὰς καὶ κοινωνίας, ὃ δὴ μάλιστα φιλεῖ τά τε ἄλλα πάντα καὶ ὁ ἔρως ἐμποιεῖν. ἔργῳ δὲ τοῦτο ἔμαθον καὶ οἱ ἐνθάδε τύραννοι· ὁ γὰρ Ἀριστογείτονος ἔρως καὶ ἡ Ἁρμοδίου φιλία βέβαιος γενομένη κατέλυσεν αὐτῶν τὴν ἀρχήν.* Atque hunc Platonis locum indicavit iam Victorius. Athenaeus XIII p. 602 a: *Ἱερώνυμος δὲ ὁ περιπατητικὸς περισπουδάστους φησὶ γε-*

νέσθαι τοὺς τῶν παίδων ἔρωτας, ὅτι πολλάκις ἡ τῶν νέων ἀκμὴ καὶ τὸ πρὸς ἀλλήλους ἑταιρικὸν συμφρονῆσαν πολλὰς τυραννίδας καθεῖλε. παίδων γὰρ παρόντων ἐραστὴς πᾶν ὁτιοῦν ἕλοιτ' ἂν παθεῖν ἢ δειλοῦ δόξαν ἀπενέγκασθαι παρὰ τοῖς παιδικοῖς. ἔργῳ οὖν τοῦτο ἔδειξεν ὁ συνταχθεὶς Θήβησιν ὑπὸ Ἐπαμεινώνδου ἱερὸς λόχος καὶ ὁ κατὰ τῶν Πεισιστρατιδῶν θάνατος ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος γενόμενος, περὶ Σικελίαν δὲ ἐν Ἀκράγαντι ὁ Χαρίτωνος καὶ Μελανίππου. Plut. Erotic. p. 760 b. Neque a iudiciis haec aliena fuisse, Aeschinis locus in Timarchum § 132—135, qui *προκατάληψις* est, docet: *ἀναβήσεται δ' ἐν τῇ ἀπολογίᾳ καὶ τῶν στρατηγῶν τις, ὡς ἀκούω, ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτὸν ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς, ὃς ἐπιχειρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τοῦ ἀγῶνος, οὐ κρίσιν ἐξευρηκέναι με φάσκων ἀλλὰ δεινῆς ἀπαιδευσίας ἀρχήν, παραφέρων πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς ὑμετέρους, Ἁρμόδιον καὶ Ἀριστογείτονα καὶ τὴν πρὸς ἀλλήλους πίστιν καὶ τὸ πρᾶγμα ὡς συνήνεγκε τῇ πόλει διεξιών, οὐκ ἀφέξεται δ', ὥς φασιν, οὐδὲ τῶν Ὁμήρου ποιημάτων οὐδὲ τῶν ὀνομάτων τῶν ἡρωϊκῶν, ἀλλὰ καὶ τὴν λεγομένην γενέσθαι φιλίαν δι' ἔρωτα Πατρόκλου καὶ Ἀχιλλέως ὑμνήσει καὶ τὸ κάλλος, ὥσπερ οὐ πάλαι μακαριζόμενον, ἂν τύχῃ σωφροσύνης, νῦν ἐγκωμιάσεται κτλ.*, quae Aeschines in seqq. § 136—159 explicat et confutat.

13 *ἀσυλλόγιστον γὰρ καὶ τοῦτο*] Non *καί*, sed *δὴ* A, quod sane melius, neutrum in vet. transl., immo integrum comma male repetitum videtur.

15 *ἄλλος διὰ τὸ συμβεβηκός*] Locus quintus; Sophist. elench. cap. 5: *οἱ μὲν οὖν παρὰ τὸ συμβεβηκὸς παραλογισμοί εἰσιν, ὅταν ὁμοίως ὁτιοῦν ἀξιωθῇ τῷ πράγματι καὶ τῷ συμβεβηκότι ὑπάρχειν· ἐπεὶ γὰρ τῷ αὐτῷ πολλὰ συμβέβηκεν, οὐκ ἀνάγκη πᾶσι τοῖς κατηγορουμένοις καὶ καθ' οὗ κατηγορεῖται, ταῦτα πάντα ὑπάρχειν.*

16 *οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς*] Herodotus II, 141, Polemo ap. Clem. Alex. Protr. p. 25. et ap. schol. h. l.: *Πολέμων ἱστορεῖ τοὺς ἀμφὶ Τρωάδα κατοικοῦντας ἀπὸ χρησμῶν τινῶν ἐπιχωρίους μῦς σέβεσθαι διὰ τὸ τὰς*

νευρὰς τῶν τόξων τῶν πολεμίων φαγεῖν. Schol. Ven. ad Iliad. I, 39. Eustath. p. 35.

18 *διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ*] Haec quae Wyttenbachii diligentiam ad Plutarch. p. 74 B. fugerant, Sophoclis fabulam *σύνδειπνον* explicant. Vid. Soph. fragm. p. 22 seqq. Lips.

20 *διὰ τὸ ἐπὶ τοῦ μὴ κληθῆναι*] R lectionis varietate in textum translata, unde Victorii libri p v cum vet. tr. *διὰ τὸ μή,* ceteri vero vulg. *ἐπὶ τοῦ μὴ*

21 *ἄλλος τὸ παρὰ τὸ ἑπόμενον*] Locus sextus; Soph. el. cap. 5: *ὁ δὲ παρὰ τὸ ἑπόμενον ἔλεγχος διὰ τὸ οἴεσθαι ἀντιστρέφειν τὴν ἀκολούθησιν· ὅταν γὰρ τουδὶ ὄντος ἐξ ἀνάγκης τόδε ᾖ, καὶ τοῦδε ὄντος οἴονται καὶ θάτερον εἶναι ἐξ ἀνάγκης . . . ἐν δὲ τοῖς ῥητορικοῖς αἱ κατὰ τὸ σημεῖον ἀποδείξεις ἐκ τῶν ἑπομένων εἰσί· βουλόμενοι γὰρ δεῖξαι ὅτι μοιχὸς τὸ ἑπόμενον ἔλαβον ὅτι καλλωπιστὴς ἢ ὅτι νύκτωρ ὁρᾶται πλανώμενος. πολλοῖς δὲ ταῦτα μὲν ὑπάρχει, τὸ δὲ κατηγορούμενον οὐχ ὑπάρχει.* Conf. infra III, 16. *περὶ ποιητικῆς* cap. 24: *ἔστι δὲ τοῦτο παραλογισμός. οἴονται γὰρ ἄνθρωποι ὅταν τουδὶ ὄντος τοδὶ ᾖ ἢ γινομένου γίνηται, εἰ τὸ ὕστερόν ἐστι, καὶ τὸ πρότερον εἶναι ἢ γίνεσθαι· τοῦτο δ' ἐστὶ ψεῦδος.* Rhet. Graec. VII, 322: *ὀνομάζει δὲ τουτονὶ τὸν διαλεκτικὸν τρόπον Ἀριστοτέλης παρὰ τὸ ἑπόμενον, ὅταν τῇ προτάσει καὶ τῇ κατασκευῇ οὐχ ἑπομένην δῶμεν τὴν ἀναστροφήν, ἀλλὰ σεσοφισμένην, οἷον ὁ ἀλεκτρυὼν δίπους, ἀλλὰ μὴν καὶ ὁ ἄνθρωπος δίπους, ὁ ἄνθρωπος ἄρα ἀλεκτρυών.* ubi Demosthenem adversus Aeschinem hac fallacia usum esse egregio exemplo demonstratur: (eadem V, 283. IV, 410.) *οὕτω καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου* [p. 272 § 135] *παραλογίζεται τὸν Αἰσχίνην, φησὶ γὰρ οὕτως· οὐκοῦν ὅτε τούτου μέλλοντος λέγειν ἀπήλασεν αὐτὸν ἡ βουλὴ καὶ προσέταξεν ἑτέρῳ λέγειν, τότε καὶ προδότην εἶναι καὶ κακόνουν ἡμῖν ἀπεφήνατο. τοὺς μὲν γὰρ προδότας ἐκβάλλεσθαι ὁμολογεῖται, τὸ δὲ τοὺς ἐκβαλλομένους πάντως εἶναι προδότας οὐκ ἀληθές.* Demosth. *παραπρ.* § 268. proditores legati ita agunt, ut reipublicae mala inferant; iam si post legationem mala acciderunt vel ex

legatione, proditores sunt legati; hoc ut invicto argumento saepissime abutitur orator, si *αὐτὰ τὰ πράγματα* Aeschinem proditionis convincere et arguere dicit. § 120. 330—331. Item *περὶ παραπρ.* § 9—16 se gravissimo argumento Aeschinem a Philippo auro corruptum esse confirmaturum esse profitetur: *ἵν' εἰδῆθ' ὅτι τοῖς ὑφ' αὑτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ μάλιστα ἐξελεγχθήσεται δῶρα ἔχων.* At nihil aliud quam Aeschinem antea contra Philippum concionatum, postea vero pro pace cum rege ineunda locutum esse probat.

23 *ὅτι γὰρ οἱ μεγαλόψυχοι τοιοῦτοι*] Ethic. Nic. IV, 8, ubi *μεγαλόψυχον* describit: *καὶ εἰς τὰ ἔντιμα μὴ ἰέναι καὶ οὗ πρωτεύουσιν ἄλλοι.* Est enim *καταφρονητικὸς τῶν ἄλλων.*

25 *τοιοῦτοι γάρ*] Sic Bekkerus ex coniectura, *τοιούτοις ἄρα* A, ceteri *ὁ τοιοῦτός ἐστιν*, vel articulo neglecto *τοιοῦτός ἐστιν.* Vulgata lectio *ὅτι καὶ οἱ μοιχοὶ τοιοῦτοι* ex vet. transl. *quod et adulteri tales* sumpta et primum in margine Venetae apparet.

25 *ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ πτωχοὶ καὶ ᾄδουσι καὶ ὀρχοῦνται*] Qui hoc dixit et oratione amplificavit, vituperatur ab Isocrate, Helen. § 8: *τοσοῦτον δ' ἐπιδεδωκέναι πεποιήκασι τὸ ψευδολογεῖν, ὥστ' ἤδη τινὲς ὁρῶντες τούτους ἐκ τῶν τοιούτων ὠφελουμένους, τολμῶσι γράφειν ὡς ἔστιν ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ ὁ τῶν ἄλλων ἀνθρώπων, καὶ ποιοῦνται τεκμήριον ὡς εἰ περὶ πονηρῶν πραγμάτων ἔχουσί τι λέγειν, περί γε τῶν καλῶν κἀγαθῶν ῥαδίως εὐπορήσουσιν.*

29 *ἄλλος παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι*] Septimus locus, quem integrum Dionys. ad Ammaeum de Dem. et Ar. cap. 12 repetit. Soph. elench. cap. 5: *ὁ δὲ παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον, ὅταν προσληφθῇ τὸ ἀναίτιον ὡς παρ' ἐκεῖνο γενομένου τοῦ ἐλέγχου. συμβαίνει δὲ τὸ τοιοῦτον ἐν τοῖς εἰς τὸ ἀδύνατον συλλογισμοῖς κτλ.* Analyt. prior. II, 17. *περὶ ποιητικῆς* 10: *διαφέρει γὰρ πολὺ τὸ γίνεσθαι τάδε διὰ τάδε ἢ μετὰ τάδε.* ubi vid. Victor. p. 104.

32 *οἷον ὡς*] Prius deest ap. Dionysium.

32 *οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν*] Aristoteles hic Demosthenem ab hac culpa, quam inimici ei inferebant, liberat. Idem vero Aeschines adversus Ctesiphontem Demostheni vitio vertit § 134: *ἡ δ' ἡμετέρα πόλις ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους. καὶ ταῦτ' ἡμῖν συμβέβηκεν ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν προσελήλυθεν*, item § 136. Imo gravissima illa causa id agit, ut Demosthenem belli auctorem fuisse argumentis demonstret, vid. inprimis *δεύτερον* et *τρίτον καιρὸν* § 79—158. Cur igitur Demadem appellat, cum integra de hac re Aeschinis oratio existeret? ni fallor, quod Demades ipse rationem attulit; huius enim, non Aristotelis videntur verba, scripsitque Aristoteles fortasse hanc artem, antequam celeberrima haec causa in iudicio agebatur, ut tum has principum oratorum orationes cognitas non haberet. Supra pugna Chaeroneensis indicata est p. 1398, 1 et commune Graecorum foedus p. 1399 b, 12, ut hic liber intra spatium annorum Olymp. CXI, 1 et CXII, 3 (336—330) scriptus esse videatur. *μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος*. Difficilia intellectu; nam si ut par est, bellum cum Philippo gestum, in quo proelium ad Chaeroneam commissum est, intelligitur, quo iure hoc *μετ' ἐκείνην* conflagrasse dicit, cum Demosthenes nunquam a republica administranda recesserit? Itaque hic ipse in oratione sua, a quo tempore primum rempublicam aggressus est usque ad Byzantii obsidionem Olymp. CX, 2. § 60—101 p. 245—260, et tum res Amphissensium et quae inde secuta sunt usque ad proelium § 160 seqq. p. 281 deinceps enarrat semper in re publica versatus. Iam si Demosthenes, ut et ipse et adversarius adversus Ctesiphontem profitetur, a re publica adversus Philippum administranda non cessavit, Demades non quo Aristoteles sensu intellexit, hoc dixisse, sed Demosthenis reipublicae gerendae rationem bellum secutum idque ex ea natum esse, aeque atque Aeschines significasse videtur. Conf. A. Schaefer III, 1 p. 71. Demosth. Vertheid. des Ktesiph. p. 70.

Aliud simile exemplum est, quo Demosthenes Aeschinem omnium malorum auctorem dicit, pro Ctesiph. § 143: *οὗτός ἐστιν ὁ συγκατασκευάσας καὶ πάντων εἷς ἀνὴρ μεγίστων αἴτιος κακῶν*, et 159: *ὁ γὰρ τὸ σπέρμα παρασχὼν οὗτος τῶν φύντων αἴτιος.* At causa fuit, quod Philippus in Amphictyonum societatem erat assumptus, quo devitari non potuit, ut maioris momenti controversiae inter Graecos natae ad ipsum ceteris potentiorem, qui armis diiudicaret, traderentur. *παραπρ.* § 240, quod est *πρὸ τούτου.* 286. 288. Lysias XIII, 33 seqq.

34 *ἄλλος παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς*] Octavus locus; Soph. elench. c. 5: *οἱ δὲ παρὰ τὸ μὴ διωρίσθαι τί ἐστι συλλογισμὸς ἢ τί ἔλεγχος, ἀλλὰ παρὰ τὴν ἔλλειψιν τοῦ λόγου γίνονται . . ἔνιοι δὲ ἀπολιπόντες τι τῶν λεχθέντων φαίνονται ἐλέγχειν . . ἕλκοι δ' ἄν τις τοῦτον καὶ εἰς τοὺς παρὰ τὴν λέξιν.* Vides inde incertam horum sedem; nam quae enthymemata non sunt, sed videntur, et hoc et illud vitium attingunt; sic Aristoteles ipse *τὰ ἐκ σημείου* retulit ad *παρὰ τὸ ἑπόμενον*; quae ex hoc genere sunt, ad *ἔλλειψιν*, hanc nunc ad *παρὰ τὴν λέξιν* refert. Ibidem cap. 6: *καὶ διαιρουμένοις οὕτως κοινὸν ἐπὶ πᾶσι τούτοις θετέον τὴν τοῦ λόγου ἔλλειψιν.*

Aeschines *παραπρ.* § 121—123 ab ipso Demosthene legatos ex secunda legatione ad Philippum reversos publica oratione et decreto laudatos esse dicit; Demosthenes vero *παραπρ.* § 235—236 adversarium male agere et quae ipse post primam legationem decrevisset, ad secundam transferre confirmat: *ταῦτα δὴ παρέξεται νῦν οὗτος λέγων ὡς αὐτὸς ἐπῄνεσεν ἡμᾶς καὶ αὐτὸς εἱστία τοὺς πρέσβεις, τὸ πότε οὐ διορίζων. ἔστι δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι καὶ φανεροὺς τούτους πεπρακότας αὑτοὺς γενέσθαι, ὅτ' ἄρτι μὲν ἧκον οἱ πρέσβεις τὸ πρῶτον, ἔδει δὲ ἀκοῦσαι τὸν δῆμον τί λέγουσιν, οὐδέπω δὲ οὔθ' οὗτος συνερῶν δῆλος ἦν τῷ Φιλοκράτει οὔτ' ἐκεῖνος τοιαῦτα γράφων. ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότεροι.* Alterum apertius et clarius exemplum in oratoribus non invenies. Cicero Milon. 13, 61, ubi consecutionem egregiam argumentis addit et signis, sed fal-

sam; non enim rationem affert, quam vid. ap. Ascon. § 9.

36 *αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός*] Eurip. Iphig. Aul. 66:

ἐπεὶ δ' ἐπιστώθησαν, εὖ δέ πως γέρων
